




Euſtathius
Gr. & Lat:
GAULMINI.
381
K
22









2. — Vossius de Historicis Graecis l. 4. c. 19. p. 491.

Vide Gynaecam, Daphin, Hysminen de fabulis Romanensibus. Alb. Fabricii bibl. Gr.

miror, nihil praefatum esse Gaulminum nullasque adjunxisse notulas. Colomesii gallica annotatis, p. 271.

Miror etiam, Salmasium (in praef. ad Achillem Tatium) Auctorem nostrum ~~nihil~~ adeo parvi fecisse, si cum Tatio et Heliodoro comparetur: dubitet quis, num Eustathium legerit Salmasius. Habet Tatius suos naevos, ubi etiam suos [illegible].

Eustathius ipse [illegible] elogium meritissimum p. 445.

Civitates, in hoc opere, fictis nominibus donatae:
Eurycomis p. 2.
Solicomis 4.
Daphnopolis 292–311.
Artycomis 312, 319.

virtutem picturis p. 35—43.
Amoris p. 48—
diversi generis hominum 101—
[illegible] 129—

Scatet haec fabula phrasibus Homericis atque poeticis.

Ceterum ego Eustathii stylum et dictionem [illegible] praefero Tatii stylo qui non ita simplex neque suavis sed affectatior.

Ad. 262 — . 380–384 —

p. 300 prima epitome hujus fabulae, 339 — altera, ~~[illegible]~~ tertia, 403 —

p. 440 — ubi elegans Epilogus totam hanc fabulam claudit Homeris.


ex A. [illegible], v. D. m. Leid.

De doctissimo interprete G. [illegible],
vide Colomesii Gallia Orientalis p. 230. 263.

ΕΥΣΤΑΘΙΟΥ
ΚΑΘ' ΥΣΜΙΝΙΑΝ ΚΑΙ ΥΣΜΙΝΗΗΝ ΔΡΑΜΑ.

EVSTATHII
DE ISMENIÆ ET ISMENES AMORIBVS, LIBRI XI.

GILBERTVS GAVLMINVS Molinensis primus Græcè edidit, & Latinè vertit.



LVTETIÆ PARISIORVM.
Sumptibus HIERONYMI DROVART, via Iacobæa, ſub ſcuto Solari.
M. DCXVII.

ΕΥΣΤΑΘΙΟΥ
ΚΑΘ' ΥΣΜΙΝΙΑΝ ΚΑΙ
ΥΣΜΙΝΗΝ ΔΡΑΜΑ.


EVSTATHII
DE ISMENIÆ ET ISME-
NES AMORIBVS,
LIBRI XI.



ΕΥΣΤΑΘΙΟΥ ΚΑΘ' ΥΣΜΙΝΙΑΝ ΚΑΙ Ὑσμίνην δρᾶμα.

ΒΙΒΛΙΟΝ α'.

ΠΌΛΙΣ Εὐρύκωμις τἄλλα μὲν ἀγαθή· ὅτι καὶ θαλάσσῃ στεφανοῦται, καὶ ποταμοῖς καταρρεῖται, καὶ λειμῶσι κομᾷ, καὶ πηγαῖς εὐθηνεῖται παντοδαπαῖς. τὰ δὲ εἰς θεοὺς εὐσεβής, καὶ ὑπὲρ τὰς
Act. 17. 22. χρυσᾶς Ἀθήνας, ὅλη βωμὸς, ὅλη θῦμα θεοῖς, καὶ ἀνάθημα. προεκηρύσσει τὰς ἑορτὰς, πανηγύρεις ἄγει, θύει τὰ προσφορα τῷ Διῒ καὶ τοῖς ἄλλοις θεοῖς. παρὰ δὴ ταύτῃ τῇ Εὐρυκώμιδι, καιρὸς Διασίων καὶ κλῆρος ἐπὶ τοὺς κήρυκας. καὶ τοῦτο γὰρ ἔθος τῇ πόλει καὶ νόμος ἄγραφος, ἀλλ'



EVSTATHII DE ISMENIÆ ET ISMENES AMORIBVS,

LIB. I.



VRBS Eurycomis nobilis est, quia mari cingitur, fluuijs alluitur, pratorum amœnitate commendatur, ac delitijs omnibus affluit. Cæterùm pietate & illustres Athenas superat; tota in aris, sacrificijs ac donarijs occupatissima: dies sacros edicit, solennia festorum celebrat, Ioui aliisque numinibus rite rem facit. In hac ciuitate Diasiorum tempore præcones sortiri mos est: hæc enim cõsuetudo scriptâ pariter lege rata est;

cœlibes vrbis præcipuos ſortiri: ille autem cui ſors obtigerit, lauro coronatus mittitur. Cecidit ſuper me, confeſtímque coronatus & Aulycomidem iturus præco declaratus ſum. Itaque templo egreſſum ſacra veſte calceóque ac lauri corona inluſtrem excepit populus; cymbaliſque, lampadibus, tædis, & cantibus proſequutus abeunti ſacrum velut comitatum inſtruxit. Erecta igitur vrbs, & ex omni circa me illius frequentia hic ſalutat, hic amplectitur, alius ſaltationem explicat, & quo quiſque poteſt honore colit. Videbar vndoſi fluminis circumitione vallari. Vna vox eadémque totius vrbis ſonat; Iſmeniam præconem non exiguam aliquam ciuitatem, ſed Aulycomidem ire; quam tandem perueni. Ea porro quæ medio tempore acciderunt, remetiri opus non eſt. Aulycomidem ingreſſus, non vt

καιρὸς πανηγύρεως ἱερᾶς, κλῆρος ἐπὶ τοὺς ἀζύγας τῶν ἀρχόντων τῆς πόλεως· καὶ περὶ ὃν κλῆρος ἐμπέσοι, κῆρυξ στέλλεται τῇ λαχούσῃ, περίπτερον ἐστεφανωμένος τῇ δάφνῃ. κλῆρος οὖν ἐπ' ἐμέ. καὶ στεφανίτης ἐγὼ κάλλιστέ μοι Χαρίδημε, καὶ κῆρυξ ἱερὸς ἐς Αὐλίκωμιν. περίειμι τὸ ἱερὸν περιεστεμμένος δαφνίνῳ στεφάνῳ, ἱερῷ χιτῶνι, ἀρβύλῃ σεμνῇ. δέχεταί με τὸ παρεστώς, περιπομπῇ ποικίλῃ λαμπάδων, κυμβάλων, δᾴδων, περιπεμπλείων ᾠδῶν ὅλης ἱερᾶς περιπομπῆς. ὀρθὴ γοῦν ἡ πόλις, καὶ πᾶν τὸ ταύτης περὶ ἐμέ· ὁ μὲν ἀσπάζεται, ὁ δὲ περιπτύσσεται· ἄλλος ὀρχεῖταί μου περὶ ποδῶν. καὶ κατ' ἄλλον ἄλλος τὸν θρίαμβον ἐξυφαίνει μοι. εἴποις ἰδὼν ποταμὸν ἐριβρύχην καὶ πολύρρουν περιρρεῖν με τὸν κήρυκα. ἓν στόμα πάσῃ τῇ πόλει, κῆρυξ Ὑσμινίας· καὶ κῆρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν. ἥκω τοίνυν ἐπ' αὐτήν. τί γὰρ δεῖ τὰ ἐν μέσῳ φιλοσοφεῖν; ὦ 'γαθέ, ἥκω κῆρυξ, καὶ δέχομαι παρ' αὐτῆς οὐχ ὡς

κῆρυξ, ἀλλ' ὡς θεός. συντρέχει τὸ πλῆθος·
κοσμοῦσι τὰς ἀγυιὰς, μυῤῥίναις τὴν ὁδὸν
μοι καταπάττουσιν. ὀδμῆς τὸν ἀέρα θο-
λοῦσι. καταβρέχουσι τὸ παρεστὼς ῥόδων
σταλαγμοῖς. ἐμὲ δὲ περιΐστασι, καὶ λαμ-
πρόν τινα χορὸν τούτου ἱστῶσιν, οἷς καὶ
Σωκράτην οἱ ζηλωταὶ περιειστήκεισαν.
ἐφέλκονταί με πάντες πρὸς ἑαυτοὺς,
εὐτυχίαν ἡγούμενοι πρὸς ὃν καταλύ-
σαιμι, ὡς ὑπὲρ μεγάλων ἐκ μεγάλης
σταλλόμενον κήρυκα. νικᾷ Σωσθένης, καὶ
ἅρμα φέρων, ἄγει με περὶ τὴν οἰκίαν, καὶ
φιλοφρονεῖταί με μάλα φιλοτίμως. εἰσά-
γει με περὶ τὸν κῆπον. ὁ δὲ μεστὸς χαρίτων,
καὶ ἡδονῆς· πλήρης φυτῶν, ὅλος ἀνθέων.
αἱ κυπάριττοι στοιχηδὸν, αἱ μυῤῥίναι κατὰ
στέγην συνηρεφεῖς. αἱ ἄμπελοι βοτρυ-
οῦνται τοῖς βότρυσι. τὸ ἴον περιπηδᾷ τῶν
φύλλων καὶ μετ' ὀδμῆς ὡραΐζει τὴν ὄψιν.
τῶν ῥόδων τὸ μὲν περικύπτει τοῦ κάλυκος,
τὸ δ' ἐγκυμονεῖται· ἄλλο περικέκυφεν·
ἔστι δ' ὃ καὶ πεπόνθεν κατὰ γῆν ἐῤῥύη. τὸ

præco, ſed vt numen exceptus ſum. accurrit multitudo quæ vicos ornat, myrtis ſolum ſternit, vnguentis aëra inficit, roſis floribúſque omnes purpurat. Me ſplendida ciuium corona cingit, qualis diſcipulorum Socratem: omnes ſcilicet enixè ad ſe trahunt; felicem illum exiſtimant apud quem diuerterem, magnæ vrbis legatus, magnarum ergô rerum miſſus. Vicit tandem Soſthenes, currúque ad ædes ductum, honorificè ac comiter habuit: hortum demum ſuccedere voluit. Ille autem gratiarum voluptatíſque locus erat: nam arborum copia refertus florum varietatę abundabat: hinc cupreſſorum ordines & myrti, quarum rami atque frondes mutuo complexu ita ſe nectebant vt vſum tecti præſtarent; hinc & racemis crinitæ vites; ac erumpentes folijs violæ præter odoris fragrantiam aſpectum recreabant: etiam roſæ, quarum illa è calyculo iam tum prominebat, illa folia nondum expanſa non parturiuerat, illius iam decidua marcebant: Ibidem

intersita lilia odoratum recreant, spectantem morantur, dubiúmque manet cui victoria cedat. Hæc omnia oculis arbitratus, Alcinoi hortum inspicere mihi videbar, & quæcumque de Elysio poëtarum carminibus magnificè celebrantur, pro fabulis habenda non duxi. Lauri enim, myrti, cupressi, vites præter maximam plantarum diuersitatem quibus ornatur hortus, aut potius quas hortus habet, ramis veluti manibus expansis hortum tamquam choro instituto florida concameratione tegunt: tantum autem solis radios admittunt, quantum leniter flans zephyrus contextas frondes concutiendo dimouet. Hoc aspectu defixus non potui non exclamare, O Sosthenes, vt verè aurea me catena ligasti. Fons quatuor aut circiter cubitos altus in fundæ figuram assurgit: in medio tubus columnæ forma centri rationem ad putei ambitum seruat. Lapideus est tubus ex

κρῖνον κοσμεῖ τὸν κῆπον, ἡδὺ μὲν τὴν ὄσφρησιν· τὴν θεατὴν ἐφέλκεται, καὶ πρὸς τὸ ῥόδον ἐρίζει. σὺ δ' ἂν εἰ δικαστὴς καθίσῃς αὐτῶν, οὐκ οἶδ' ᾧ τὴν νικῶσαν ἀποχαρίσῃ. ταῦτ' ἰδὼν, τὸν Ἀλκινόου κῆπον ἐδόκουν ὁρᾶν· καὶ μῦθον οὐκ εἶχον τὸ τοῖς ποιηταῖς σεμνολογούμενον πεδίον ἠλύσιον. δάφνη γὰρ καὶ μυῤῥίνη, καὶ κυπάριττος καὶ ἄμπελοι, καὶ τἄλλα τῶν φυτῶν ὅσα τὸν κῆπον ἐκόσμει, ἢ μᾶλλον ὁ Σωσθένους ἔφερε κῆπος, ἐφαπλοῦσι τοὺς κλάδους ὡς χεῖρας, καὶ ὥσπερ χορὸν συστησάμενα κατορόφουσι τὸν κῆπον. ἐς τοσοῦτον γὰρ τῷ ἡλίῳ παραχωροῦσι παρακύψαι τὴν γῆν, ἐς ὅσον ὁ ζέφυρος πνεύσας τὰ φύλλα διέσεισεν. ἐγὼ δ' εἶπον ἰδὼν, χρυσίαν ἐπλέξω μοι τὴν στεφὰν, Σωσθένες. φρέαρ ὡς εἰς πήχεις ὀρώρυκτο τέσσαρας. σφενδόνη τὸ σχῆμα τοῦ φρέατος. κιονοειδὴς αὐλὸς περὶ τὸ μεσαίτατον κέντρου λόγον ἐπέχον πρὸς τὸ τοῦ φρέατος κύκλωμα. λίθος μὲν ὁ αὐλὸς, καὶ λίθος ἑκατοντάχροις ἐκ

θετταλῆς λίθου. φιάλη περὶ τὴν κορυφὴν τοῦ αὐλοῦ· καὶ ἐπὶ ταύτῃ κατάχρυσος ἀετὸς ὕδωρ ἀποπτύων τοῦ στόματος. ἡ φιάλη δὲ ὕδωρ ἐδέχετο. ὁ ἀετὸς ἐξέτεινε τὸ πτερὸν, ὡς δοκεῖν ἐθέλειν λελοῦσθαι. ἀρτιτόκος αἲξ τοὺς ἐμπροσθίους ὀκλάσασα τῶν ποδῶν πίνει τοῦ ὕδατος. αἰπόλος τῇ θηλῇ παρακάθηται· ψαύει τῶν οὐθάτων. καὶ ἡ μὲν πίνει τοῦ ὕδατος· ὁ δ' ἀμέλγει γάλα λευκόν. καὶ ὅσον αὕτη προσκέχυνε τῷ ποτῷ, ὁ αἰπόλος οὐκ ἀνανεύει τῆς ἀμολγῆς. τὸ δ' ὑπὸ τὴν θηλὴν ποιμενικὸν κισσύβιον οὐκ ἀσφαλῶς ὀχυρωθὲν τὴν περὶ τὸν πυθμένα ὀπὴν, οὐκ ἐπέχει τὴν ἐκ τῆς θηλῆς ἐκροήν. καὶ λαγωὸς τῷ κύκλῳ συνεφιζάνει, καὶ τῷ δεξιῷ τῶν ἐμπροσθίων ποδῶν ἀνορύττων ὥσπερ τὸ στόμα πηγὴν ὕδατος, ἐκεῖθεν ἀνάστομοῖ, καὶ ὅλην καταβρέχει τὴν ἅλω. συνεπεκάθητο δὲ τῷ φρέατι περὶ τὸ στεφάνωμα, καὶ χελιδὼν, καὶ ταὼς, καὶ περιστερὰ, καὶ ἀλεκτρυὼν, ἃ πάνθ' Ἥφαιστος ἐχαλκούργησε, καὶ Δαιδάλου χεὶρ

lapide Theſſalico & multicolore; cuius in vertice phiala: inaurata inſidet aquila quæ expanſis alis lauare viſa ore lymphas eiaculatur. Proxima eſt recens à partu capra, quæ anterioribus inclinatis pedibus ex aqua bibit, quantúmque aquis inhiet, ideo ab mulgendo caprarius non ceſſat: verùm ſuppoſito vaſe perforato lac excidit. Ibidem & lepus dextro anteriorum pedum ſibi fontem ſecundum magnitudinem oris fodit, totas ex potu maxillas madidus. Videas & hirundinem, pauonem & columbam cum turture & gallo gallinaceo: quæ ſingula partim fabricatus erat Vulcanus, partim Dædalus

perfecerat. Quæ ab horum labijs aqua cadit, mox cum ſtrepitu fluens vocem auibus tribuit. Arborum folia vento trepidantia dulci ſibilo ſtrident: ita volucres ſuauiter exiſtimes modulari. Aqua perſpicua lapidum colores admittit: fundum inſularis ornat lapis nigricantibus maculis diſtinctus (picturam nigredo imitatur) illícque
Vibrata in lenes fluctus circumſtrepit vnda.
Ambitus Chio marmore, Laconico, Theſſalico, ac alio multicolore alternatim & per vices mutuò coniunctis ſplendet: ita iucundum oculorum ſpectaculum fuit fons tam eleganti variáque perfectus arte: euomentes aquam volucres, Theſſalica phiala, cum aurata aue quę fontem ore ferebat. Lecti in circuitu ordine poſiti, non lignei, aut

ἐτεχνούργησεν. ὕδωρ ἐξεχεῖτο τῶν χειλέων
αὐτῶν, ὃ μετὰ ψόφου ῥέον φωνὴν τοῖς
ὄρνισιν ἐχαρίζετο. ἐψιθύριζε δὲ τὰ πέ-
ταλα τῶν δένδρων τῷ ζεφύρῳ ἀνακρουό-
μενα. εἶπες ἂν ἀκούσας, ἡδὺ μελίζεσθαι
τὰ πτηνά. τὸ δέ γε καταρρέον ὕδωρ διει-
δὲς ὂν πρὸς τὰς τῶν λίθων χροιὰς μετε-
βάλλετο. τὸν δὲ τοῦ φρέατος πυθμένα, νησιώτης
ἐκόσμει λίθος· λευκὸς μὲν, ἀλλ' ὑπεμε-
λαίνετο κατὰ μέρη· καὶ τὸ μελαίνωμα τέχνην
ἀπεμιμεῖτο ζωγράφου. ὡς ἐντεῦθεν δοκεῖν
τὸ ὕδωρ κινεῖσθαι διηνεκῶς, καὶ κατακυμα-
τοῦσθαι, καὶ οἷον ἀνακυρτοῦσθαι. τὰ κύκλωθεν
ἐκόσμει τοῦ φρέατος, λίθος χῖος, ὁ ἐκ
λακαίνης, καὶ θετταλὸς ἑτέρωθεν, καὶ μέσον
πολύχροός τις, καὶ οἷον ἑκατοντάχροος, ἐναλ-
λὰξ ἀλλήλοις προσαρμοζόμενοι. καὶ ἦν
θέαμα καινὸν καὶ ὅλον χάριτος, καὶ φρέαρ
οὕτω ποικίλον, καὶ πτηνὰ τὸ ὕδωρ ἐκπλύοντα.
καὶ θετταλὴ φιάλη καὶ κατάχρυσος ἀετὸς
πηγὴν φέρων ἐν στόματι. κλίναι ῥίζωθεν
στοιχηδὸν, οὐκ ἀπὸ ξύλων, οὐκ ἐξ ἐλέφαν-

τος, ἀλλ' ἐκ λίθων λαμπρῶν. θετταλαὶ τὴν βάσιν, ταῖς πλευραῖς χαλκίτιδι λίθῳ περικοσμούμεναι. ἡμισφαίρεια περὶ τὰς κλίνας περιέκειτο. ἃ πολύθ' ὁ τεχνίτης ἐκ Πεντέλης ἐξέξυσεν εἰς ποδὸς ἀνάπαυλαν. ταῖς κλίναις μυρρίναι πάντοθεν περιέσκεπον εὐφυῶς ἀνατεταμέναι, πρὸς ἀλλήλας συνδούμεναι, καὶ πρὸς ὄροφον ἐπ' ἀπευθυνόμεναι. ταῦτα δὴ ταῦτα καὶ δ' ἱερῶν, ὅλην τὴν ὄψιν ἀπεθέμην τοῖς θαύμασι, μικροῦ δεῖν καὶ ἄφωνος εἰσῄειν. ὁ δὲ Σωσθένης, πρός με φησίν· ἀπόθου τὸν πρεσβύτην, ἀπόθου τὸν κήρυκα. σὺν ἡμῖν ἀνακλίθητι. ἀποθέμενος οὖν τὸν στέφανον, καὶ τὸν κηρύκειον χιτῶνα, καὶ τὸ ἱερὸν πέδιλον, ἀνακέκλιμαι. συνανακέκλιται δέ μοι καὶ Κρατισθένης ἀδελφιδοῦς ἐμός, ἀνῆος αὐτὸς, (οὕτω γὰρ ἐγὼ τὸν φίλον ὁρίζομαι) ἐξ Εὐρυκώμιδος συνεκπλεύσας μοι. ἀνακεκλίμεθα τοίνυν ἐγώ τε, καὶ Κρατισθένης, καὶ Σωσθένης, καὶ Πανθία γυνή. τὰ δὲ περὶ τροφὰς καὶ τρυφὰς τί δεῖ κατὰ μέρος φιλο-

eburnei, sed lapidei fuere. Thessalico marmore basis, Chalcidico latera ornantur. semicirculi ex Pentelico lectis ad pedum quietem paratis proximant: myrti copiosæ, connexæque & in tectum directæ illos operiunt. Hoc aspectu defixus, penè obmutueram, cùm me Sosthenes depositis legationis insignibus mensæ accumbere iussit. Quod vbi exequutus sum, accubuit & Cratisthenes qui mecum nauigarat, mihi charissimus, adeóque alius Ismenias, sic enim amicitiam definio. Eduliorum variorum copiosa fercula numerare nihil at-

tinet. Ismenem filiam virginem So-
329 sthenes vinum præbere iussit. Illa ve-
stem cincta, manus ad cubitum nuda, linteum tenui funiculo ceruici alligauit, columbæque propinqua manus lauit, volucris ore ad hanc rem vsa. Mox argenteum vas sublatum aquilæ rostro supposuit, totúmque vnica decidentis aquæ bulla repleuit, tanto cum impetu affluebat: postquam proxima vasi pocula statuit, aqua abluit, ad ministerium parata constitit. Primus Sosthenes bibit, nec enim vt biberem persuadere potuit. Subsequuta est Panthia. Mihi tertium poculum virgo præbuit; audientíq; ac tacito, Saluus esto, leniter insusurrauit. Ego maxima cum voluptate bibi, quoniam poculo,

χρινδν.

κρινεῖ; Ὑσμίνη παρθένῳ θυγατρὶ Σωσθέ-
νης οἰνοχοεῖν ἐγκελεύεται. ἡ δ' ἀνεζώσατο
τὸν χιτῶνα. ἐγύμνωσε τὼ χεῖρε μέχρις
ἀγκῶνος, τὴν περὶ ταύτας ὀθόνην μη-
ρίνθῳ λεπτῇ περὶ τὸν τράχηλον ἀναδή-
σασα, καὶ παρακαθίσασα τῇ περιστερᾷ τὰς
χεῖρας ἐνίπτετο· τοῦ σώματος τοῦ πλέον
καθυπουργοῦντος τῷ λειτουργήματι. εἶτα
τι σκεῦος ἀργύρεον ἀναλαβομένη, παρὰ
τὸ ῥάμφος ἄχρι τοῦ ἀετοῦ, καὶ περὶ μόνην
ῥοπὴν ἐπλήρωσεν ὕδατος· οὕτω κατὰ κρουνὸν
τὸ ὕδωρ καταρρέει. παρὰ τὸ σκεῦος ἐκ-
τίθησι τὰ ἐκπώματα, καὶ καταπλύνασα
ταῦτα λίαν ἐπιμελῶς τε καὶ φιλοκάλως,
παρῆν πρὸς τῷ λειτουργήματι. ἔπιε μὲν οὖν
ὁ Σωσθένης. οὐκ ἔπειθέ με γὰρ αὐτοῦ
προπιεῖν. εἶτα καὶ ἡ Πανθία συνέπιεν.
ἐμὲ δὲ τρίτον εἶχεν ἡ πόσις. ἧκεν οὖν ἡ
παρθένος· καὶ παρατιθεμένη μοι τὸ ποτή-
ριον, χαίροις, ὑπεψιθύρισεν. ἐγὼ δ'
ἀκούσας οὐδὲν εἶπον· ἀλλ' ἔπιον μεθ'
ἡδονῆς ὅσης, ὅτι καὶ τὸ ἔκπωμα μάλα τερ-

πνόν· καὶ τὸ πόμα γλυκύ, καὶ τὸ ὕδωρ διειδὲς καὶ μάλα ψυχρόν· ὧν οὐκ ἄν τι γένοιτ' ἂν ἡδύτερον ἀνδρὶ διψῶντι καὶ καυματουμένῳ καὶ ζέοντι· καὶ μετ' ἐμὲ Κρατισθένης πίνει τοῦ νέκταρος· οὕτω γὰρ ἐγὼ τὸν ἐξ Αὐλικώμιδος οἶνον καλῶ. μικρὸν προσομειλήσαμεν ταῖς τρυφαῖς πυκναῖς οὔσαις καὶ πολυτελέσι τὰ μάλιστα· καὶ πάλιν ἐπίνομεν. ἧκεν οὖν ἡ παρθένος, καὶ ἐπ' ἐμέ, καὶ μάλα βραχεία φωνῇ, ἔχεις, φησίν, ἐξ ὁμωνύμου παρθένου τὴν κύλικα. καὶ τὸν πόδα ταύτης ἐπὶ τὸν ἐμὸν ἐπιτέθηκε· καὶ προσεπέθλιβεν ἐφ' ὅσον ἐγὼ τοῦ πόματος ἔπινον. ἐγὼ δὲ ἠρυθρίων νὴ τοὺς θεούς, καὶ τάχ' ἂν καὶ ἀπέσκωψα πρὸς αὐτήν, εἰ μὴ τύχῃ γενέσθαι τὸ πρᾶγμα νενόμικα· πάλιν οὖν ἐτρεφόμεθα, καὶ πάλιν ἐπίνομεν. ἧκεν ἡ κόρη κιρνῶσα, καί μοι προὔτεινετο τὸ ποτήριον. ἐγὼ δὲ ἐξέτεινα τὴν χεῖρα λαβεῖν. καὶ τὸ μὲν κύλικος ἐλαβόμην. ἡ δ' οὐκ ἀπεσπᾶτο τὴν τῆς παρθένου χάριν. ἡ γάρ μοι παρθένος καὶ παρετίθετο τὸ ποτήριον, καὶ

frigida ac perſpicua aqua & ſuauiſſimi vini hauſtu eximiè delectabar: quibus dulcius nihil accidat ſitienti homini & ardore ſuccenſo ac æſtuanti. Cratiſthenes vltimus nectar bibit: ſic enim Aulicomidis vinum appello. Vt ſatis opiparè detruncauimus cibos, rurſus excepere pocula. Ad me Iſmene venit, tenuíque & admodum deminuta voce inſit, Habes ab eiuſdem nominis puella poculum: & cum dicto pedem meum ſuo impoſito tandiu preſſit, quamdiu ego bibi. Erubui per Deos, dictóq; penè inſectatus ſum: ſed tota res fortuitò accidiſſe viſa. Iterum poſt cibos ingeſti calices, tertióque Iſmene acceſſit; ſed oblatum, quod protenſa manu arripui poculum,

ſuis auelli manibus non ſinebat: nam geſtus quidem præbentis fuit, reuera autem non dimittebat. Ortum eſt inter nos certamen, vicitque puella præconem. Puduit me ſuperatum; virginémque præconis lingua, libera voce, caſto animo, cur poculum præbere recuſaret, aut quid vellet, interrogaui. Illa confeſtim pauida, genis plus ſolito rubentibus, demiſsiſque in terram oculis manum à poculo abſtinuit. Ita verecundo vultum ſuffuſa rubore, veluti graui tonitru procelláque ſideris tacta, ſtetit. Panthia defixis in puellam luminibus, ira, indignatione, ſanguine ſuffuſis, caput, manus, pedes, ceruicem intuita, totam denique percurrens, illi ſuccenſebat & iraſcebatur. Erubuit primò totis genis, ita vt ruborem iracundia indubiè pareret: mox palluit, ita vt

παρακατεῖχεν αὐτό. καὶ τῷ μὲν σχήματι παρετίθετο, τῇ δὲ ἀληθείᾳ κατεῖχεν. εἷς οὖν ἐν χερσί, καὶ χεὶρ παρθένου κόρης νικᾷ χεῖρα κήρυκος ἀνδρὸς παρθένου. ἐγὼ δὲ αἰσχυνθεὶς τὴν ἧτταν, εἶπον πρὸς τὴν παρθένον, γλώσσῃ κήρυκος, ἐλευθέρᾳ φωνῇ, παρθένῳ ψυχῇ, οὐ βούλει μοι δοῦναι; τί δ' ἄρα βούλει; ἡ δὲ συναρπάζει τῷ λόγῳ τὴν χεῖρα τῆς κύλικος. ὅλη δ' ἔντρομος ἐγεγόνει, καὶ τὴν παρειὰν ὑπὲρ τὴν φύσιν ἠρύθρωτο. τοὺς ὀφθαλμοὺς ὅλους ἀφῆκε τῇ γῇ· καὶ ἦν ὡς ἐκ κεραυνοῦ βληθεῖσά τινος, καὶ ὅλην ἐπὶ τοῦ προσώπου φέρουσα τὴν αἰδῶ. Πανθία πρὸς τὴν κόρην ἄγει τοὺς ὀφθαλμούς, ὅλους θυμοῦ, ὅλους ζήλου, καὶ πλήρεις αἵματος. εἰσβάλλει τούτους ἐπὶ τὴν κορυφὴν τῆς παιδός, ἐπὶ τὰς χεῖρας, ἐπὶ τοὺς πόδας, ἐπὶ τὸν τράχηλον. ὅλην εἶχε τοῖς ὀφθαλμοῖς τὴν κόρην, καθ' ὅλης θυμοῦται, καθ' ὅλης ὀργίζεται. ἐρυθαίνεται τὴν παρειάν· ὃ καὶ παράδοξόν μοι δοκεῖ, θυμοῦ συγκλωμένου ἔρωτος. ὠχριᾷ πάλιν ὡς τοῦ

παρόντος ἐρυθήματος καθ' ὅλου τοῦ τῆς Ὑσμίνης προσώπου καταρρυέντος. ὁ δέ γε Σωσθένης δριμὺ πρὸς παρθένον ἰδὼν καὶ αὐτός, καὶ κινήσας τὴν κεφαλήν, ἐκεῖθεν εὐθὺς ἀφαρπάζει τοὺς ὀφθαλμούς, καὶ φησί· 25 Διασίων καιρός, κατατρυφήσωμεν τὰ Διάσια. ὅλοι γενώμεθα τῆς ἑορτῆς, ὅλοι τῆς πανηγύρεως· Ζεὺς περὶ τῇ τραπέζῃ, καὶ Διὸς τράπεζα. ὅτι καὶ κῆρυξ οὗτος Διός, τῇ χειρί με παραδεικνύς. καὶ ὁ Κρατισθένης, ἐγγύς μου παρακαθήμενος πλήττει με σιγῇ τῇ χειρί· τῷ ποδὶ τὸν πόδα προσεπιθλίβει μου, καί, σίγα, φησί μοι τῷ ψιθυρίσματι. ἐγὼ δὲ τίς γενοίμην οὐκ εἶχον· ἠρυθρίων, ὠχρίων, ἐσίγων, ἐδειλίων, ὑπέτρεμον. ἠμυνόμην ἐμαυτόν, τὸν Σωσθένην, τὴν Πανθίαν, τὴν κόρην, τοὺς παρεστῶτας, καὶ τὸν ἐμὸν Κρατισθένην. τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν τράπεζαν ἐπεπήγειν, ἀπαλλαγῆναι ταύτης ηὐχόμην. ἡ κόρη καὶ πάλιν ἐκίρνα τῷ πατρὶ κελευσθεῖσα, καὶ μετὰ πατέρα Σωσθένην, καὶ μετὰ μητέρα Πανθίαν ἧκε πρὸς

omnis ille rubor in virginis faciem tranſcurriſſe videretur. At Soſthenes acri virginem obtutu defigens, & caput quaſſans, oculis inde ſtatim auerſis, hæc addidit: Diaſiorum tempus eſt quę iucundè nobis peragenda; hoc vnum agamus: vrget præſentia Iouis, qui his epulis adeſt, quoniam eius hoc conuiuium & præco, me digito monſtrans. Cratiſthenes interim mihi proximus, pedem ſuum meo imponens, manúque tacitè pulſans, ſilere iubet. Ego quis aut vnde eſſem neſciebam; ita tacentem rubor, pallor, timor, pudórque occupauerant: pudor propter Soſthenem, Panthiam, Iſmenem, meum etiam Cratiſthenem. Itaque deſtinato contuitu menſam intuebar, ab illa diſcedere cupidus. Virgo iuſſa patri vinum præbuit, mox Panthiæ mihíque:

tum verò Sosthenes, Ismenia, festi Iouísque poculum hoc est: tu modò inter epulas & pocula hilaris esto. Et tu quoque, mi Sosthenes, subieci, qui nos adeò splendidè amantérque excepisti. Dúmque poculum inuado quod præbebat Ismene acri me obtutu defigens, illa tenuem imo de pectore suspiriũm ducens, digitum meum pressit. Ego Cratisthenì obsequutus tacui, finémque hunc conuiuium habuit. Sosthenes ac Panthia nobis cubiculo redditis vale facto discesserunt: sola remansit Ismene tribus ancillis comitata, quarum altera haustam ex fonte aquam, altera sublatum in humeros argenteum vas, tertia linteum candidissimum adtulit. Ego & Cratisthenes

με τὸν κήρυκα. ὁ δὲ Σωσθένης φησὶν, Ὑσμι-
νία κῆρυξ, πόμα σοι τοῦτο τῆς ἑορτῆς, καὶ
πίθι τὸν Δία τιμῶν, καὶ χαῖρε. χαῖρε τρυ-
φῶν, χαῖρε πίνων, χαῖρε κηρύττων Διά-
σια. ἐγὼ δὲ, ἀντίχαιρε Σώσθενες, εἶπον,
οὕτω ποικίλως ἡμᾶς φιλοφρονούμενος καὶ
πολυτελῶς. ἡ δὲ κόρη παρίσταται· τῇ μὲν
χειρί μοι παρατιθεμένη τὸ ἔκπομα, τοὺς
δὲ ὀφθαλμοὺς ὅλους τοῖς ὀφθαλμοῖς μου
συμπλέκουσα. προτείνω τὴν χεῖρα λα-
βεῖν. ἡ δὲ τὸν δάκτυλον ἐπιθλίβει μου, καὶ
θλίβουσα στένει, καὶ φύσημα λεπτὸν ὡς ἐκ
καρδίας φυσᾷ. ἐγὼ δὲ ἐσίγων τὸν Κρα-
τισθένην πειθόμενος· καὶ οὕτω κατελύετο τὸ
συμπόσιον. ἦγον οὖν ἡμᾶς ἐπὶ τὸ δω-
μάτιον Σωσθένης, Πανθία, παρθένος
Ὑσμίνη, καὶ θεράπαιναι τρεῖς. ἡ μὲν, ἐκ τοῦ
φρέατος ὕδωρ ἔφερεν· ἡ δὲ τι σκεῦος ἀρ-
γύρεον ἐπ᾽ ὤμων ἀνεῖχεν· ἡ δὲ τρίτη, λίνον
κατὰ χιόνα λευκόν. ἐπέβημεν τοῦ δωμα-
τίου· καὶ Σωσθένης μοι, χαίροις, εἰπὼν, σὺν
τῇ Πανθίᾳ ᾤχετο. ἐγὼ δὲ καὶ Κρατισθένης

ἀνεκεκλίμεθα περὶ κλίνας ὅτι λαμπρῶς ἐστρωμένας καὶ μαλακῶς. ὑπέθηκε δὲ σκεῦος περὶ τὸν σκίμποδα κλίνης ἐμῆς ἡ τοῦτο κατέχουσα. ἡ ἑτέρα δὲ ὕδωρ ἐπέβαλεν· ἡ δὲ παρθένος Ὑσμίνη ὀκλάσασα τὼ πόδε καὶ λαβομένη μου τῶν ποδῶν ἐκπλύνει τῷ ὕδατι. καὶ τοῦτο γὰρ τοῖς κήρυξιν ἀφωσίωται. συνέχει τούτους, κατέχει, περιπλέκεται, θλίβει, ἀψοφητὶ φιλεῖ, καὶ ὑποκλέπτει τὸ φίλημα· καὶ τέλος ἀμύττουσα τοῖς ὄνυξι γαργαλίζει με. ἐγὼ δὲ τἆλλα σιγῶν καὶ φέρων ἄκων, ἀνεκάγχασα. ἀνένευσεν ἡ κόρη, καὶ ἀτενῶς ἰδοῦσά με, μικρὸν ἐμειδίασε, καὶ πάλιν κατένευσε. κἂν ἐγὼ τοῖς ἔρωσιν οὐκ ἐπένευον. ἀπομάσσεταί μου τοὺς πόδας τῷ μάκτρῳ, ἐκ τῶν τῆς θεραπαινίδος ἀνελομένη χειρῶν· καὶ, χαίροις, εἰποῦσά μοι, κῆρυξ, ᾤχετο. ἐγὼ δὲ περὶ τὸν ὕπνον ἐτραπόμην εὐθὺς, καρηβαρήσας καὶ τροφῇ καὶ πόσει καὶ πόνοις τοῖς τοῦ κηρύγματος. περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ὁ καλὸς Κρατισθένης

mollibus collocati lectulis decubuimus, donec vaſe propter lectum poſito, iniectáque in pedes meos aqua Iſmene de geniculis illos lauit (nam hoc præconibus religionis ergô tribuitur) longúmque conſtringens detinuit. Amplexus & oſcula crebrò ac furtim ingeſſit, leuicula denique vnguium titillatione corraſit. Ego ad alia tacitus omniúmque patiens, inuitus tamen in riſum erupi. Reſpexit ad riſum Iſmene, intentíſque in me defixa oculis, mox illos dimiſit, intuita tot amoris indicijs me nuſquam adlubeſcere: ſtatímque accepto ex ancillæ manibus linteo pedes nitidat, ac ſalutem precata cubiculo exterminatur. Ego cibo potúque ac nocte grauatus in profundam quietem ſepultus ſum. Craticſthenes circa tertiam vigiliam noctis

me somno excussit, hoc increpans versu:

Non oportet præconem totam noctem dormire.

Ego pudore & amicitia, licet difficulter euigilo; cibi enim potúsque satias somnos inuitant. Atque ille quidem ea quæ in conuiuio acciderant risúsque causam quærens, nimiam loquendi petulantiam arguebat, hoc dicto;

Linguæ parcæ inter homines thesaurus optimus est,
Multáque gratia illius modestè loquentis.


Cætera, inquam, non ignoras, quia vnà nobiscum fuisti: de puella te docebo. Primum poculum cùm præbuit, Saluus sis, præco, leni susurro infit: mox ab eiusdem nominis virgine secundum habere iussit, adeò deminuta voce vt auditum falleret; tamdiúque pedem meum suo imposito pressit quamdiu bibi. Tertiò poculum quidem præbere videbatur,

ἐξυπνίζει με λέγων· οὐ χρὴ παννύχιον εὕδειν ἄνδρα κήρυκα. ἐγὼ δ᾽ ἀποσπώμενος τῶν ὕπνων, αἰδοῖ καὶ φιλίᾳ πειθόμενος. οἱ δ᾽ οὐκ ἀπεσπῶντό μου τῶν βλεφάρων. τροφὴ γὰρ καὶ πόσις καὶ κόπος, ὕπνου πηγή. τί δὲ φῄς, ὦ Κρατίσθενες, εἶπον, τί μου τῶν βλεφάρων τὸν γλυκὺν ἀποσπᾷς ὕπνον; ὁ δὲ τὰ περὶ τὴν τράπεζαν ἐζήτει μαθεῖν, καὶ πῶς ἀνεκάγχασα, καὶ τὴν ἐμὴν ἐκ λοιδόρου γλῶτταν· γλώσσης τοι, λέγων, φειδωλῆς θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης. ἐγὼ δὲ πρὸς αὐτόν, τἄλλα μὲν τοῦ δείπνου Κρατίσθενες οἶσθα, καὶ σὺ συνανακλινόμενος ἡμῖν καὶ πίνων τοῦ νέκταρος. τὰ δὲ περὶ τὴν κόρην τοιαῦτα. πρῶτόν μοι φέρουσα πόμα, χαίροις, ὑπεψιθύρισε. δεύτερον, ἐξ ὁμωνύμου χειρῶν, δέχου, φησί, τὸ ποτήριον. ἠρέμα δὲ καὶ τοῦτο, καὶ τὴν ἀκοὴν ὑποκλέπτουσα. ἐς ὅσον δ᾽ ἐγὼ ἔπινον, αὕτη τῷ ποδὶ τὸν πόδα μου κατεπάλθλιβε. τρίτον ἔφερέ μοι πόμα, καὶ διδοῦσα


πάλιν ἐπέχει· ἐγὼ δ᾽ ὅσαπερ ἀκήκοας εἴ-
ρηκα. τὰ δ᾽ ἐφεξῆς, οἶδας, τὸν τῆς Παρ-
θίας θυμὸν, τὴν ὀργὴν τοῦ πατρὸς, τὴν
τῆς κεφαλῆς κίνησιν, τὴν αἰδῶ τῆς παρθένου,
τὴν σιγὴν, τὴν ἔκπληξιν, τὸ ἐρύθημα, καὶ
τἆλλα πάνθ᾽ ὁπόσα πέπονθεν, ὡς ἐκ κε-
ραυνοῦ βληθεῖσα τινός. πρὸς ἃ δὴ πάντα,
νὴ τὸ σεμνὸν τοῦτο κηρύκειον, ἠχθόμην
αὐτὸς, καὶ μᾶλλον τὴν σὴν ἐπιτίμησιν, ἥτις
με παιδεύει σιγᾶν. τέταρτον ἐπινομὴν τὸ-
τε Διῒ, καὶ πάλιν Ὑσμίνη τὸν ἐμὸν
ἐπέθλιβε δάκτυλον. ταῦτα τὰ τῆς τρα-
πέζης· τὰ δὲ τῆς κλίνης ὁποῖα; νύττει μου
τοὺς πόδας, περιπλέκεται, θλίβει τοὺς
δακτύλους φιλεῖ, καὶ φιλοῦσα κλέπτει τὸ
φίλημα, καὶ τέλος ἀμύττει μου τὸ πέλ-
μα τοῦ ποδός· ὅθεν ὡς ἤκουσας ἀνεκάγχασα.
καὶ ὁ Κρατισθένης, τῆς εὐτυχίας, ἀνακέ-
κραγε· παρθένος ἐρᾷ σου, καὶ παρθένος
οὕτω καλή, σὺ δ᾽ οὐκ ἀντερᾷς. ἐγὼ δὲ, τὸ
τί τοῦτο τὸ ἀντερᾶν, εἴρηκα. ὁ δὲ καὶ πάλιν ὁ
Κρατισθένης μέγα ἀνακέκραγεν, Ἡράκλεις,

ſed tamen retinebat; itaque illa quæ audiuiſti, mihi exciderunt. Reliqua tu noſti, Panthiæ Soſtheniſque iram, capitis motum, puellæ pudorem, ſilentium, conſternationem, ruborem, & ſingula quæ Diali velut fulmine tacta perpeſſa eſt. quorum omnium & maximè obiurgationis tuæ quæ ſilentium imperauit, teſtor præconium, me pudebat. Atque hæc ſunt quæ in conuiuio euenerunt: quæ verò circa lectulum; Iſmene pedes meos lauit, preſſit, furtiuiſque ingeſtis oſculis tandem pedum ſolum vnguibus leniter carpere auſa, in riſum coëgit. O te felicem, exclamauit Cratiſthenes; amat te pulcherrima puella: tu non redamas! Quidnam verò eſt redamare? ſubieci. Hercules,

respondit ille, quis similem væcordiam vel fando audiuit? at tibi Amor Venúsq; mater & omnes Cupidinum illecebræ faueant. Ego iterum nescius quis illorum mihi magister futurus esset, quæsiui: at Cratisthenes, Animantia, inquit, ea quæ ab natura illis insita sunt ab vllo non docentur: confestímque his dictis oculos iterum in quietem flexit.




LIBER SECVNDVS.



SEQVENTI die rursus hortum ingressi, oculis eius amœnitatem maxima cum animi voluptate arbitrati sumus: erat enim veluti bonorum omnium locus, deorum sedes, gratijs voluptatéq. affluens; oculorum, cordis, membrorum, corporis denique totius voluptas, solatium, recreatio, requies. Cingebat illũ mirabilis murorum corona, tantæ altitudinis,

τῆς

τῆς ἀτοπίας, τῆς ἠλιθιότητος. ἀλλ' ἵλεως σοι Ἔρως, Ἀφροδίτη ἡ μήτηρ, καὶ ἴυγγες ἐρωτικαί. ἐγὼ δὲ, τίνες οὗτοι, πρὸς τὸν Κρατισθένην φημὶ, τίς δέ μοι τούτων διδάσκαλος; ὁ δέ μοι, φύσεις ζώων ἀδίδακτοι. πάλιν οὖν ἐπὶ τὸν ὕπνον ἐτράπημεν.



ΒΙΒΛΙΟΝ Γʹ.

Τῇ δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν κῆπον γενόμενοι, τοὺς ὀφθαλμοὺς ταῖς χάρισιν ἐνετρεφόμεθα, τὴν ἡδονὴν μεθέλκοντες ἐπὶ τὰς ψυχάς. ἦν γὰρ ἀγαθῶν χωρίον ὁ κῆπος, καὶ θεῶν δάπεδον, καὶ ὅλος χάρις καὶ ἡδονὴ, τέρψις ὀφθαλμῶν, καρδίας παραψυχὴ, παραμυθία ψυχῆς, μελῶν λύσις, ἀνάπαυλα σώματος. τὰ μὲν οὖν περὶ τὸν κῆπον, ὅσα καὶ οἷα. ὁ δέ γε θρίγκιον, ἄλλο περίστιον, τοσοῦτον ὕψος αἰρό-

μένον, ὅσον ἀνεπίβατα τὰ τοῦ κήπου τηρεῖν καὶ ὀφθαλμοῖς καὶ ποσί, πάντοθεν κατεχαρίτωτο χειρὶ ζωγράφου σοφῇ. παρθένοι τέτταρες ἐγεγράφατο στοιχηδόν. ἡ πρώτη λαμπρῶς τὴν κεφαλὴν ἐστεφάνωτο· λίθοι περὶ τὸν στέφανον μάλα τηλαυγεῖς, πῦρ ἀναστράπτοντες, καὶ φῶς ἀπαυγάζοντες, ὑδάτων μεστοί. εἴποις ἰδὼν μεμίχθαι τὰ ἄμικτα, ὕδωρ καὶ πῦρ ἐν λίθῳ, καὶ ἄμφω τερπνὰ καὶ ἄμφω χαρίεντα. τὸ μὲν κυματοῦται τῷ ἐρυθήματι, τὸ δ' ἀπαστράπτει. οὕτως ὁ τεχνίτης ἀκριβῶς τὴν φύσιν τῶν λίθων ἀπεμιμήσατο. μάργαροι περικυκλοῦσι τοὺς λίθους, κατὰ χιόνα λευκοί, σφαιροειδεῖς τὸ σχῆμα, τὸ μῆκος ὑπὲρ τὰς φύσεις αὐτῶν. οἷς ἐγὼ τοὺς ὀφθαλμοὺς ὅλους ἀποδούς, εἶπον μετὰ θάμβους καὶ ἡδονῆς, χάλαζα καὶ ἄνθρακες πυρός. ὁ δὲ Κρατισθένης (παρῆν γὰρ καὶ αὐτός) ἀνεκάγχασέ μου τῇ παραχρήσει τοῦ ῥήματος. ὁ πλόκαμος εὐφυῶς περὶ τοὺς ὤμους ἥπλωται τῆς παρθένου, καὶ βοστρυχοῦται μὲν ὡς εἰκός. ὑποχρυσίζει δὲ

quantæ ſufficeret ad oculos greſſúſque arcendum ab omnibus quæ in horto erant: præcipua picturæ elegantia fuit: inter cætera virgines quatuor ordine ſequentes obtutibus ſe meis obiecere.

Prima coronato capite viſa eſt: corona gemmis radiat, quæ igneum coruſcantes, humidum tamen fulgorem iaculātur. Affirmes mixta eſſe quæ miſceri nequeunt, aquam ſcilicet ignémque in eadem gemma; ſed perbellè ac lepidè; namque vt ille rubore natiuo fluctuat, ſic alius luce propria fulgurat. Ita lapidum naturæ pictor æmulos colores explicuit. Coronam vniones candidiſſimi, & rotundi magnitudinis inſolitæ cingunt. Steti defixis in hoc ſpectaculum oculis, réique miraculo ac voluptate perculſus grandinem ignı́ſque carbones coniunctos exclamaui. Cratiſthenes (aderat enim) vocabuli nouitate in riſum erupit. Crines virginis leniter emiſſi & ceruice dependuli atque in cincinnos diſtincti, ſubflaui auri colorem

referunt. Collum marmoreum torquis argentea coronat, quam auri maculis distinctam hyacinthina fibula subnectit. Manus candidissimæ ac verè puellares, expansa dextera minimúmque curuata caput pendentémque fronte carbunculum tractat; læua globulum elegantem gestat. Dextrum pedem sine calceo porrigit, alterum vestis occulit. Illepida ac ruris plena tunica: nam pictor omnem ornatum in virginis caput impenderat, reliquas corporis partes obuijs coloribus pinxit.

Secundæ quæ sequebatur militare schema fuit, si vultum excipias: nam oculi vltrà quàm virginem decet ferociores: rutila galea caput ornat, pectus scuto tegitur, militari cingulo ilia, & squammea tunica dorsum, palma manus ac reliquum corpus

τὸ βοστρύχωμα. ὁρμίσκος περὶ τὸν τράχηλον ἐξ ἀργυρείου μετὰ σιγμάτων χρυσίου. ὑακίνθινος ὁ πόρπαξ αὐτοῦ, χεῖρες τῆς παρθένου λευκαὶ καὶ ὄντως παρθενικαί. ἡ δεξιὰ ταθεῖσα καὶ εὖ κυρτωθεῖσα, τῆς κεφαλῆς ἥπτετο τῷ δακτύλῳ, καὶ τοῦ περὶ τὸ μέτωπον ἀνθρακος· ἡ δὲ λαιὰ σφαιροειδιόν τι κατεῖχε περιτερπές. ὁ δεξιὸς ποὺς ἀσάνδαλος τῇ παρθένῳ· τὸν γὰρ τοι λαιὸν ἐπεκάλυπτε τὸ χιτώνιον. ὅλος ὁ χιτὼν ἀκαλλὴς καὶ οἷον ἀγροικικώτερος· τὸν γὰρ πάντα κόσμον περὶ τὴν κεφαλὴν τῆς κόρης ὁ τεχνίτης ἐκένωσε. τὰ δ᾽ ἄλλ᾽ ὡς ἔτυχε κατεπέχρωσεν.

Η μετ᾽ αὐτὴν παρθένος καὶ τῇ τάξει δευτέρα, ὅλη στρατιῶτις, πλὴν τοῦ προσώπου, εἰ μὴ δ᾽ ὅτι καὶ τοὺς ὀφθαλμοὺς ἀγριωτέρους ἢ κατὰ παρθένον ἰδεῖν. κόρυς περιαστράπτει τὴν κεφαλὴν, καὶ ταύτην κατακοσμεῖ. θυρεὸς τὸ στέρνον, φολιδωτὸς χιτὼν τὸ μετάφρενον, μίτρα τὴν ζώνην, τὸν ταρσὸν, τὰς χεῖρας καὶ τἆλλα τῶν μηρῶν

στρατιωτικῶς κατεπέφρακτο, ἡ χεὶρ κατ' ἀνδρῶν παχεῖα. οἱ δέ γε δάκτυλοι πρὸς τὸ παρθενικὸν ἐγεγράφατο. ἐν ὅσοις τῶν μελῶν ἐγυμνοῦτο, ὅλη παρθένος ἦν ἡ στρατιῶτις· ἐν ὅσοις δὲ κατεπέφρακτο, ὅλην στρατιῶτιν τὴν παρθένον ὁρᾷς. ἀσπὶς τῇ λαιᾷ τῇ παρθένῳ, εἰ δέ γε βούλει, τῇ στρατιώτιδι· τῇ δ' αὖ ἑτέρᾳ δολιχὸν ἔγχος γράφον Ἄρεος.

Η μετ' αὐτὴν ὅλη παρθένος, ὅλη σεμνὴ τὴν ὄψιν, τὸ σχῆμα, τὸν χιτῶνα, τὸ πέδιλον, ἐστεφανωμένη τὴν κεφαλὴν, οὐκ ἐκ λίθων κατὰ τὴν προτέραν, οὐκ ἐκ μαργάρων κατὰ τὴν ἐξ ἀρχῆς, ἀλλ' ὅλοις φύλλοις, ἀλλ' ὅλοις ἄνθεσι. ῥόδον οὐκ εἶχεν ὁ στέφανος, ἢ λαθομένου τοῦ τεχνίτου, ἢ φεισαμένου, ἢ τῶν χρωμάτων ἡττωμένων τῆς τοῦ ῥόδου βαφῆς. ὁ πλόκαμος τῇ κόρῃ κατεχεῖτο μικρὸν, καὶ αὖ περὶ τὸν στέφανον ἀνεδέδετο. λευκὴ καλύπτρα τὴν κεφαλὴν καὶ τὰ περὶ τὸ μέτωπον κατεκάλυπτεν. ἀραχνιώδης ὁ χιτὼν τῇ παρθένῳ,

armata, manus præcipuè quamuis duriſſimæ, digiti molles erant: denique illa membra intuitus quæ nuda pictor exhibuit, virginem militari ornatu dicas: ea verò quæ armis inſtructa, militem ipſe affirmes. Atque hæc virgo, vel, ſi placet, miles, læua clypeum ſuſtinet, dextra longiſſimam haſtam Martis ſtylum.

Tertiæ virginea facies ac venerabilis, habitus ſimiliter, tunica, calceúſque, caput foliorum florúmque coronamine inluſtre, non gemmarum aut vnionum. Roſa tamen nulla viſa eſt, ſiue illius non meminit pictor, ſiue ille color quo roſa purpurat à reliquis victus eſt. Crinem tantiſper vagum coronæ nodus adſtrinxerat: album capitis tegmen frontis partem tegit: tenuiſſima puellæ veſtis,

candida & talaris: dextra pectori impoſita cognominem papillam, digiti læuam vti cuſtodes operiunt; ipſa pænè ſine nutricibus exſtat: ſiniſtra veſtem circa femora coërcet: etenim aduerſus Boreas maximam partem circa calcaneum effuſam perflat. Ita virginis venerationem, venti audaciam, laciniæ ſubtilitatem pictor expreſſit. Non ideo tamen per virginis corpus flabat ſereni auctor Boreas. Pes melior læuo implicitus impoſitúſque, & femori femur, ne tenuitate nimia veſtis corpus admiſſa luce pateſieret. Nigras illam ſoleas pictor induit, optimas quidem, ſed virgini minus conuenientes.

Quarta ex nube, quam paulò antè diſruptam ſuſpicari licet, decidua eſt; nam adhuc ex cœlo velut

τὸ χρῶμα λευκὸς, ποδήρης τὸ σχῆμα, καὶ ὅλος πλατύς. ἡ δεξιὰ τῶν χειρῶν δεξιῶς ἐπικειμένη τῷ στήθει, τὸν ὁμώνυμον κατακαλύπτει μαζόν. οἱ δάκτυλοι τὸν λαιὸν ὅλον περικαλύπτουσι κατεπικείμενοι, καὶ φυλάττοντες. ἄμαστον εἴποις ἰδὼν γεγράφθαι τὴν κόρην. ἡ δ᾽ ἑτέρα χεὶρ τὸ χιτώνιον ἀνέχει περὶ τῶν μηρῶν. ὁ γὰρ Βορρᾶς ἐδόκει πνεῖν κατὰ μέτωπον, καὶ τὸ πολὺ τοῦ χιτῶνος περὶ τὴν πτέρναν ἐξέχυσεν. οὕτως ἡ κόρη σεμνή· καὶ τὸ πνεῦμα θρασὺ, καὶ λεπτὸν τὸ χιτώνιον. διὰ γάρ τοι παρθενικῆς ἁπαλόχροος οὐ διάησιν αἰθρηγενέτης Βορρᾶς. ὁ δεξιὸς τῶν ποδῶν περὶ θάτερον στρέφεται, καὶ κατεπίκειται, καὶ συμπλέκεται, μηρὸς ἐν μηρῷ, καὶ ὅλος ποὺς ἐν ποδί· ἵνα μὴ τῷ λεπτῷ τοῦ χιτῶνος τὸ σῶμα διαφωτίζηται. μέλαν τὸ πέδιλον τοῖν ποδοῖν, καὶ ἀσφαλῶς ἐσκευασμένον, καὶ μὴ κατὰ παρθένον ἠμφιεσμένον.

Η τετάρτη καὶ τελευταία ἐξ ἀρτὶ ῥαγέντος νέφους ἀπορρυῆναι δοκεῖ, καὶ ὡς

ἐξ οὐρανοῦ διακύπτει. καὶ ὅλη αἰθέριος, τὸ σχῆμα σεμνή, χαρίεσσά μοι τὸ πρόσωπον. ἐρυθρὸς ὁ χιτών, ἀλλ' ἔχει τι καὶ λευκότητος. εἰ δὲ τοῦ σώματός ἐστι τὸ λευκόν, καὶ διαῤῥεῖ τὸν χιτῶνα, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν. θρὶξ πᾶσα τῆς κόρης εὐφυῶς συνῆκται πρὸς τὸ μετάφρενον. τοὺς ὀφθαλμοὺς ὅλους ἔχει πρὸς οὐρανόν. στάθμη καὶ φλὸξ ταῖν χεροῖν, ἡ μὲν ἐπὶ δεξιᾷ, ἡ δ' ἐπ' ἀριστερᾷ. τὼ πόδε μέχρι καὶ κνημῶν ἐξέφυγεν ὁ χιτών.

Οὕτω μὲν οὖν εἶχον αἱ γυναῖκες. τὸ δὲ περὶ ταύτας δρᾶμα καὶ τίνες αὗται, μαθεῖν ἐζητοῦμεν φιλοπονώτερον. γράμματα τοίνυν ὁρῶμεν ὑπὲρ τὰς κεφαλὰς τῶν παρθένων, ἃ πάντα ἦσαν ἴαμβον ἓν εἰς τέτταρα τετμημένον, καὶ ταῖς παρθένοις τὰς κλήσεις ἀφοσιούμενον· τὸ δ' εἶχεν οὕτως·

Φρόνησις, ἰσχύς, σωφροσύνη, καὶ θέμις.

ἐντεῦθεν ἐφιλοσοφοῦμεν περὶ τὰ τῶν γυναικῶν σχήματα, καὶ τὰ μέχρι τούτου δὴ ἡμῖν καταλαμβανόμενα ἀκατάληπτα, τὸν λαμ-

deſpicit. Itaque tota cœleſtis habitu oris ac geſtu venerabili vultúque formoſo, rubram veſtem induitur; quæ tamen ſubalbeſcit, an corporis candor veſtem irradiat; id verò pictor videri noluit. Coma humeris immiſſa collectáque in tergo pendet: ſtat obtutum in cœlos conuerſa. Pedes tibiarum tenus veſte nudati: ſtateram flammámque ambabus geſtat.

Is virginum habitus fuit: cuius explicationem ſcire accuratiùs cupientes, litteræ ſuper illarum capita exaratæ docuerunt: Iambus nempe qui in quatuor diuiſus ſingulis nomen ſuum tribuebat:

Prudentia, fortitudo, temperantia, iuſtitia.
Tum verò collato de illis inter nos ſermone, eorum quæ antea nobis ignota fuerant, rationem aſſequuti ſumus.

Coronæ ſcilicet, gemmarúmque, ac vnionum, argentei monilis aureis diſtincti maculis, & hyacinthinæ fibulæ, dexteræ nutus omnes capite diuitias ſuas geſtare indicat: læuæ globus vniuerſi dominam, ſine ornatu veſtis omnem ornatum præter capitis Prudentiam reſpuere ſignificat. Secundæ militare ſchema in milite virginem, in virgine militem oſtẽdit: etenim Fortitudo naturâ miles, appellatione virgo eſt. itaque quà ſine armis eſt, puellam nomine ac ſpecie refert: cùm fortitudinem exhibet, militis habitu inſpiciendam ſe præbet: ita cum natura pictor nomen ſeruauit & cum nomine naturam expreſſit. Tertia quæ ex floribus

στερεὸν στέφανον τῆς πρώτης παρθένου, τοὺς περὶ τὸν στέφανον λίθους, τοὺς μαργάρους, τὸν περὶ τὴν δέρην χρυσόν, τὸν ἄργυρον, τὴν ὑάκινθον, τὸ σχῆμα τῆς κόρης, τὸ σχῆμα τῆς δεξιᾶς, μονονοὺ λεγούσης ὡς ἐνταῦθα τὸν ὄλβον ἔχω περὶ τὴν κεφαλήν. τὸ περὶ τὴν λαιὰν σφαιρίδιον ὡς συνέχει τὸ πᾶν, καὶ τὸ τοῦ χιτῶνος ἀπερικόσμητον, ὡς πάντα πλὴν τῆς κεφαλῆς ἀκοσμήτως ἡ φρόνησις ἔσταλται. τὸ στρατιωτικὸν σχῆμα τῆς μετ' αὐτήν, τὴν ἐν στρατιώτιδι παρθένον, καὶ αὖ τοὐναντίον τὴν ὅλην στρατιῶτιν, τὴν ὅλην παρθένον. ἀνδρεία γὰρ ὡς τῇ φύσει στρατιῶτις καὶ τῇ κλήσει παρθένος. ὅθεν ἐν οἷς μὴ περιφράττοιτο στρατιωτικῶς, ὅλη παρθένος ἐστὶ καὶ κλήσει καὶ σώματι. ἐν οἷς δὲ τὴν ἰσχὺν ἐπαγωνίττοιτο, ὅλη στρατιῶτις ἡ παρθένος ἐστί. καὶ ὡς ἐν τῇ φύσει τὴν κλῆσιν ὁ ζωγράφος παρεφυλάξατο, οὕτω κἂν τῇ κλήσει τὴν φύσιν ὅλην ἐπεχρωμάτισε. τῆς ἑτέρας καὶ τρίτης τὸν ἐξ ἀνθέων στέφανον, τὸν ἐξ

ἀμαράντων φυτῶν, τὴν συστολὴν τοῦ πλοκάμου, τὴν καλύπτραν τῆς κεφαλῆς, τὴν περιστολὴν τῶν στέρνων, τὴν φυλακὴν τῶν μαστῶν, τὸν ἐπὶ τῷ μηρῷ μηρὸν, τὴν καὶ μέχρι πνεύματος σωφροσύνην, καὶ τἄλλα πάνθ' ὁπόσα πανευφυῶς ὁ τεχνίτης τῇ φίλῃ μου παρθένῳ προσήρμοσε. περιπτύσσομαί σου τὴν χεῖρα γραφεῦ· ἀσπάζομαι τὴν γραφίδα· χάριν ὁμολογῶ σοι πρός γε τοῖς ἄλλοις, ὅτι μὴ τῷ στεφάνῳ τῆς ὄντως παρθένου τὸ ῥόδον συνέπλεξας· οὐδὲν κοινὸν σωφροσύνῃ καὶ ῥόδῳ αἰσχρῶς βαφέντι, κἂν τῆς αἰδοῦς ἐρυθριονομένῳ τὸ πρόσωπον. τῆς τετάρτης τὸ διακύπτον ἐξ οὐρανοῦ, τὸ αἰθέριον, τὸ ἀπερικάλυπτον, τὸ λαμπρὸν τοῦ προσώπου, τὰ τῆς δίκης ζυγὰ, καὶ τἄλλ' ὁπόσα προσφόρως ὁ τεχνίτης τῇ Θέμιδι προσεφήρμοσε. δικαιοσύνη γὰρ ἐξ οὐρανοῦ διακύπτει, καὶ ταλαντεύει τὰς κρίσεις, καὶ πρὸς οὐρανὸν ἀπευθύνει τοὺς ὀφθαλμοὺς, καὶ οὐδὲν ἀνθρώπινον ἔχει. μετάγομεν τοὺς ὀφθαλμοὺς

perpetuóque virentibus folijs coronam gerit, Caſtitas eſt. Vides eius ornatum; contractas ne vagæ fluitent comas, caput pectúſque opertum, papillarum cuſtodiam, implicitum femori femur, & contra ipſius venti impetum, caſtitatem, ac cætera quæ cariſſimæ virgini aptiſſimè pictor tribuit. Amplector manum tuam, exoſculor penicillum gratiámque plurimam habeo tum multorum ergô, ſed præcipuè quia virginis coronæ roſam nullam adtexuiſti: nihil enim commune iſti virtuti cum roſa quæ Veneris ſanguine tincta præ pudore etiamnum rubet. Quarta quæ de cœlo proſpicit, cœleſtis, intecta, cuius vultus radiat, quæ iuſti & æqui ſtateram cæteráque geſtat, quæ Themidi pictor optimè tribuit, indubiè Iuſtitia eſt. Illa ſyderibus oculos conciliat. nihílque mortalis fæcis retinet. His inſpectis obtutu

reliqua placuit arbitrari. Currus qualis aut diuitis Crœsi aut Agamemnonis visus est, excelsus ac verè regius: quo puer toto corpore nudus vehitur. Mihi illum verecundè intuenti veriuerbium succurrit:

Desipere maximum sine dolore malum est.

Arcum, ignémque manibus sustinet, dependent lateri pharetræ, & anceps gladius: pedes non vt vulgi hominum, sed alarum remigio instructi: totius capitis eximia forma puerorum virginúmque omnium longè superat, nempe Deorum simulachrum, Iouis imago, Veneris cæstus, Gratiarum campus, adeóque ipsissima Voluptas erat. Prolectante studio pulcherrimæ visionis depictas Thetidis nuptias inspeximus. Aderant Iuno, Minerua, Venúsque, quibus comes factus est iste puer. Conuiuium Discordia turbat, fictúmque pomum pulchriorem

ἐπὶ τὴν μετὰ τὰς παρθένους γραφὴν, καὶ δίφρον ὁρῶμεν ὑψηλὸν καὶ λαμπρὸν καὶ ὄντως βασιλικόν. Κροίσου δίφρος ἐκεῖνος ἢ πολυχρύσου Μυκήνης τυράννου τινός. Τῷ δ' ἐπεκάθητο μειράκιον τερατῶδες, γύμνωσιν παντελῆ καθ' ὅλου φέρον τοῦ σώματος· πρὸς ὃ βλέπων ἠσχυνόμην αὐτὸς, καὶ τοῦ ἔπους ἐμνήσθην, ὡς τὸ μὴ φρονεῖν κάρτ' ἀνώδυνον κακόν. Τόξον καὶ πῦρ περὶ τὼ χεῖρε τοῦ μειρακίου, φαρέτρα περὶ τὴν ὀσφὺν καὶ σπάθη ἀμφίκοπος. τὼ πόδε μὴ κατ' ἄνθρωπον ἦν τῷ μειρακίῳ, ἀλλ' ὅλον πτερόν. Τὰ δέ γε περὶ τὴν κεφαλὴν, οὕτω τερπνὸν τὸ μειράκιον, ὑπὲρ μειράκιον πᾶν, ὑπὲρ πᾶσαν παρθένον, θεῶν ἄγαλμα, εἴδωλον Διὸς, ὅλος κεστὸς Ἀφροδίτης, ὅλος χαρίτων λειμὼν, ὅλον ἡδονή. αὖ Θέτιδος γάμος, αὖ Ἥρα περὶ τὸν γάμον, αὖ Ἀφροδίτη, αὖ Ἀθηνᾶ, αὖ καὶ τουτοῒ τὸ μειράκιον, αὖ Ἔρις κυκᾷ τὸ συμπόσιον, αὖ μῆλον πλάττει, αὖ τὸ μῆλον ζητεῖ λαβεῖν τὴν καλὴν, αὖ Πάρις κριτής,

σὺ τὸ μῆλον ἆθλον τοῦ κάλλους, ἔχεις τὸ μειράκιον τοῦτο. καὶ πρὸς τὸν Κρατισθένην εἶπον· ὡς ἄρα χεὶρ ζωγράφου καινόν τι χρῆμα, τὰ ὑπὲρ τὴν φύσιν τερατουργεῖ, καὶ πλάττει τῷ λογισμῷ, καὶ τὰ πλάσματα τεχνουργεῖ. Εἰ δέ τι βούλει φιλοσοφήσωμεν. τὸ μειράκιον ἀντίθετον ταῖς ἀρεταῖς. αἱ κακίαι καὶ ταύταις παραπεπήγασι. πρὸς τοῦτο δὴ γνωμάτευμα τὸ μειράκιον ἀναπέπλασται, καὶ τέχνη τὸ πλάσμα πρὸς φύσιν μετήγαγεν. ἔχω σου τεχνίτα τὸ αἴνιγμα, ἔχω σου τὸ δρᾶμα· εἰς αὐτὸν σου βάπτω τὸν νοῦν. κἂν Σφὶγξ γυνή, Οἰδίπους ἐγώ· κἂν ὡς ἐκ πυθικῆς ἐσχάρας καὶ τρίποδος αἰνιγματωδῶς ἀποφοιβάζεις λοξά, πρόπολος ἐγώ σοι, καὶ διασαφῶ τὰ αἰνίγματα. τὰ δ' ἐφεξῆς ὁποῖα; ὅλος στρατὸς περιειστήκει τῷ μειρακίῳ, ὅλαι πόλεις, χορὸς σύμμικτος, ἀνδρῶν, γυναικῶν, πρεσβυτῶν, μειρακίων, παρθένων, γραῶν, βασιλεῖς, τύραννοι, δυνάσται, κρατοῦντες γῆς, ὡς δοῦλοι πα-

accipere iubet formæ præmium ab Paride iudice, non ſine eodem Cupidine. Attonitus hoc ſpectaculo Craſthenem ſic alloquutus ſum: Mira prorſus res eſt ars pictoris, qui multa ſupra rerum naturas prodigioſa, quæ animo fingit, poſtmodum coloribus exprimit: verùm ſi permittis, explicabo pueri picturam. Proxima virtutibus vitia ſunt ac pænè iuncta: hoc ſapientiſſimum dictum puer ille depictus indicat, reíque veritatem naturæ pictura aptauit. Intelligo ænigma tuum, mi pictor; fabulam teneo, animi ſenſa aſſequor: ſi Sphinx es, OEdipus ſum: ſi flexa velut ex tripode autumas, ego ſacerdos ſcrupos tuos euoluam. Maximæ acies puerum vrbéſque cingebant; mulieres, ſenes,

Et grege permixto pueri innuptæq; puellæ.

Reges, Tyranni, Dynaſtæ ad infimitatem obſequiorum veniebant, non vt regi, ſed vti Deo ſeruitium deferentes,

Adstant mulieres manibus inter se connexis, magnitudinis insolitæ, ætatis ante Iapeti tempora. Insolens vtriusque habitus, color, & facies dissimili confecta senio. Prima solaribus radijs splendet: candidi crines, oculi, vestis, facies, manus, pedes, totúmque corpus. Secunda tincta colore noctis: nigri capilli, facies, manus pedésque, ac tunica. Ambarum eadem ætas, idem senium; dissimilis color & patria. Primæ Achaia esse potuit, quæ formosis mulieribus abundat; secundæ torridum Æthiopiæ solum. Iuxtà

Famulantur omne Nerei simum pecus; auiúmque sæcula, facta inde auolandi libera potestate. Leo ferarũ dominus simile obsequiũ præstat. Ego ad Cratisthenem conuersus: cur, inquã, relicto

ἵστανται, οὐκ ἶσα τῷ βασιλεῖ, ἀλλ' ἶσα
θεῷ. καὶ γυναῖκες δὲ ταῖς χερσὶν ἀλλήλαις
συνδούμεναι, τὸ μῆκος ὑπὲρ γυναῖκας,
ὑπὲρ τὸν Ἰαπετὸν τὸν χρόνον, καὶ κοιναὶ
τὴν ὄψιν, κοιναὶ τὴν ῥυτίδα, κοιναὶ τὸ
σχῆμα, κοιναὶ τὴν χροιάν· ἡ μὲν ἡλιοειδὴς
καὶ ὅλη λευκή· λευκὴ τὴν τρίχα, λευκὴ τοὺς
ὀφθαλμούς, λευκὴ τὸ χιτώνιον, τὸ πρόσ-
ωπον, τὼ χεῖρε, τὼ πόδε, τὰ πάντα
λευκή. ἡ δ' ἑτέρα τὰ πάντα μέλαινα,
καὶ τρίχα, καὶ κεφαλήν, καὶ τὸ πρόσω-
πον, χεῖρας καὶ πόδας, καὶ τὸ χιτώνιον·
ἶσαι τὴν ἡλικίαν, διάφοροι τὴν χροιάν.
ἶσαι τὴν ῥυτίδα, τὸ γένος διάφοροι. ἡ μὲν
γὰρ ὡς ἐξ Ἀχαΐδος καλλιγύναικος, ἡ δ'
ὡς ἐκ κεκαυμένης Αἰθιοπίας. παρίσταται
καὶ πλῆθος πλωτῶν, καὶ φέρον ἐλεύθερον
τὸ πτερόν, ὡς δοῦλον παρίσταται. ὅλον γένος
Ἀμφιτρίτης νεπόδων δουλογραφεῖται τῷ
μειρακίῳ· καὶ θὴρ βασιλεὺς θηρίων μετὰ
παντὸς θηρός, ὁμόδουλος παρίσταται. ἐγὼ
δὲ πρὸς τὸν Κρατισθένην· πῶς οὐ πτερύσ-

σεται τὸ πτηνὸν ἀετῷ πτερῷ, ἀλλὰ δου-
λαγωγεῖται καινῶς· οὕτω καὶ παρὰ τὴν
φύσιν; θὴρ λέων ὠμηστὴς, βασιλεὺς θηρίων,
δοῦλος τῷ μειρακίῳ καὶ ταῦτα γυμνῷ,
ἐν φρίσσει δὲ θὴρ καὶ οἷος ὁπλίτης. ὄνυξ δὲ
ποῦ, καὶ βλοσυρὸν ὄμμα καὶ λάσιον στέρνον,
καὶ παρὰ πάντων τὸ φρικτὸν καὶ ἄγριον
βρύχημα; φράζειν ἄξιος. περιΐσταται γὰρ
καὶ τοῦτο, δὲ πᾶς βασιλεὺς, πᾶς δυνάστης,
πᾶς τύραννος, οὐκ ἀρκεῖ πρὸς μόνον
μειράκιον ὅλον γυμνόν· ἰχθύς; ἢ πᾶς θα-
λάσσιος θὴρ, τί μοι φρίσσει τοῦ μειρα-
κίου. τὸ πῦρ; ἀλλὰ πάλιν ὅλας ἔχει θα-
λάσσας, ὅλον βυθὸν, πολέμιον πυρὸς, τὸ
τόξον, τὸ πτερόν. Εἶτ' οὐκ ἀμβλύνεται
τῷ βυθῷ· βαβαί μοι τῶν γυναικῶν,
βαβαί μοι τοῦ θαύματος, βαβαὶ τῆς ἡλικίας,
βαβαὶ τῶν ῥυτίδων, βαβαὶ τοῦ σχήμα-
τος, τῆς δουλοπρεπείας. ὦ Ζεῦ καὶ θεοὶ,
ὡς ἀληθῶς τέρας ἡ γραφὴ, νοῦ πλάσμα,
καὶ χειρὸς ζωγράφου τεχνούργημα. ἀλλ'
ἴδωμεν εἰ δοκεῖ καὶ τὰ παρὰ τὴν τοῦ μει-

libero volatu inde volucres celeri pennarum plauſu non ſe eximunt? Leonem quamuis immaniſſimum omniúmque animantium fortiſſimum, talem tantúmque nudi infantis metus inceſſit: vbi vngues, truculentæ luminum acies, villoſum pectus & terribilis feróxque rugitus; quibus omnibus plurimùm valet? Etiam Reges, Principes, Tyranni nudo puero non ſufficiunt: ciuitates, maria, ipſum pelagus igni tamen ſuo infeſtum poſſidet: ſcilicet arcus, pennarúmque vis vndis non minuitur? Papæ quæ mulieres, quod miraculum, quæ ſenectus, quanta rugarum aſperitas, quis habitus, quod obſequium! ô Iupiter, diíque omnes, prorſus miraculo non caret hæc pictura: nam quod prudenti animo pictor adinuenit, ſolerti manu expreſſit. Verùm inſpiciamus, ſi lu-

bet, capiti superscriptos iambos:

Amor puer arma, ignem ferens,
Arcum, alas, nuditatem, piscium telum.

Tum Cratisthenes in verba fidentior: Non amplius, inquit, apud te testimonijs sermones mei indigebunt. Tu me quid sit Amor & quis sit interrogasti; viden? vtinam experto tibi faueat. Subieci ego: Mi Cratisthenes, ea modò quæ his versibus & pictura significantur, explica. Tum ille: Amor nudus, armis, sagittis, pennis, igne instructus est: armis homines, igne mulieres, arcu feras, pennis volucres, nuditate pisces superat; illíque ea quæ cernis omnia perpetem famulatus curam præstant: nam hæ mulieres, quarum aspectu defixus obstupescis, dies nóxque sunt. Adhuc loquentem hoc dicto excepi: Nec verò illum vnquam nouerim. Dum hæc altercamur, Sosthenes venit: nos prandio accubuimus. Stetit ad ministeriũ parata virgo;

ρακίου κεφαλὴν γεγραμμένα ἰαμβεῖα οὕτως ἔχοντα,

Ἔρως τὸ μειράκιον ὅπλα, πῦρ φέρον,
Τόξον, πτερὸν, γύμνωσιν, ἰχθύων βέλος.

καὶ ὁ Κρατισθένης· οὐκ ἔτι σοι τὰ τῶν ἐμῶν ἀμάρτυρα λόγων· τίς Ἔρως ἠρώτας; ἰδού μοι, βλέπεις αὐτόν· ἀλλ' εὐμαθὴς σοι τὰ εἰς πεῖραν ἥκοιτο. ἐγὼ δὲ πρὸς αὐτὸν, σύ μοι τὰ περὶ τὴν γραφὴν φιλοσόφει, καὶ τῇ γραφῇ προσάρμοττε τὸ ἐπίγραμμα. ὁ δὲ Κρατισθένης· ὁ Ἔρως γυμνὸς, ὁπλοφόρος, πυρφόρος, τοξότης, πτερωτός. ὅπλα φέρει κατ' ἀνδρῶν, πῦρ κατὰ γυναικῶν, τόξα κατὰ θηρῶν, κατὰ πτηνῶν δὲ πτερὸν, τὴν γύμνωσιν κατὰ τῶν ἐν θαλάσσῃ. καὶ καθ' ὅλης αὐτῆς, ἡμέρα καὶ νὺξ, ὡς ὁρᾷς, δουλεύει τῷ Ἔρωτι. αὗται γὰρ αἱ γυναῖκες ἃς σὺ θαυμάζεις ὁρῶν. ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην· μηδὲ γινώσκοιτό μοι. ἧκεν ὁ Σωσθένης· περὶ δὲ δεῖπνον ἀνακεκλίμεθα. καὶ πάλιν ἡ παρθένος ἐπὶ τῷ λειτουργήματι· καὶ πάλιν

τοὺς ὀφθαλμοὺς ἐπ' ἐμέ, καὶ κατὰ μέτωπον στᾶσά μου, καὶ τὸν τράχηλον ἠρέμα μικρὸν ὑποκλίνασα, καθυποκλέπτει μοι τὸ προσκύνημα· καὶ τοὺς δακτύλους ἐπιθεῖσα τοῖς χείλεσι, σιγᾶν ἐπιτρέπεται. ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην· ὁρᾷς; τί ταῦτα; ὁ δέ γε, σίγα, φησίν. ἧκεν ἡ κόρη κιρνῶσα· καί, χαίροις συνώνυμέ μοι κῆρυξ, ὑπεψιθύρισε· καὶ μετ' ἐμὲ τῷ Κρατισθένῃ κιρνῶσα φησίν, εἴτι δεῖ φωνὴν ἐκεῖνο καλεῖν τὸ ψιθύρισμα· ὀφείλω σοι χάριτας. τρυφαὶ δὲ καὶ πάλιν ἐπὶ τὴν τράπεζαν, οὐκ ἐξ ἀγρῶν, οὐκ ἐκ θαλάσσης ἁπλῶς, ὡς εἶδε τρυφᾶν ἠπειρώτης ἀνὴρ καὶ παράλιος, ἀλλ' ὅσας χεὶρ καὶ τέχνη μαγείρων ἐσκεύασεν· ὡς ἰχθῦς ἐξ ἀγροῦ, καὶ ὡς ἐκ θαλάσσης ταών. οὕτω πολυτελὲς ἡμῖν τὸ δεῖπνον, οὕτω λαμπρόν, οὕτω χαρίεν, ὡς ἡδύνειν καὶ ὀφθαλμοὺς καὶ λαιμόν. καὶ πάλιν ἐπινομῶν. τροφὴ γὰρ πολυτελεστέρα ζητεῖ καὶ πόσιν ἀνάλογον. καὶ πάλιν ἡ κόρη κιρνῶσα παρεκερφᾶ,

VIII. Iuuenis cuius nunc primùm opacat flora lanugo genas, tectum caput capillíque nebula, vt ita loquar, linea. Candida veſtis manus retinet, illíſque ad digitos vſque diffuſa adhæret, arcta circa

τὸ πᾶν ἐκκαλύψῃ τοῦ σώματος. Μετὰ δὴ τοῦτον τὸν ἐκ βαλανείου, τὸν λελουμένον, τὸν καυματούμενον, ἀνήρ τις ἐγέγραπτο, ὅλον ἀνεζωσμένος περὶ τὴν ὀσφὺν τὸ χιτώνιον, ὅλω τὼ πόδε γυμνὸς, καὶ ὅλην οἴνου πηγὴν ἀνασπώμενος παρὰ ποδῶν. τὴν τρίχα πᾶσαν εὐφυῶς συνῆκται πρὸς τὸ μετάφρενον, ἄμπελον ἡ λαιὰ τῶν χειρῶν ἐμιμεῖτο, καὶ βότρυν εἶχε τοῖς δακτύλοις ὡς κλάδοις ἀπαιωρούμενον. ἡ δεξιὰ τὸν βότρυν ἐτρύγα, καὶ τῷ στόματι κατὰ ληνὸν παρετίθετο, καὶ τοῖς ὀδοῦσιν ὡς ποσὶν ἐναπέθλιβε. καὶ ἦν ὁ γεγραμμένος ἀνὴρ, ἄμπελος καὶ τρυγητὴς καὶ ληνὸς καὶ οἴνου πηγή. Ὁ μετ᾽ αὐτὸν νεανίσκος τὴν πρώτως ἤνθει τὸν ἴουλον, τὴν κεφαλὴν μὴ περιφέρων ἀπερικάλυπτον, ἀλλ᾽ ἔκ τινος ἀραχνώδους λίνου περικαλύπτων καὶ τὴν κεφαλὴν καὶ τὸν βόστρυχον. λευκὸν αὐτῷ τὸ χιτώνιον, ὃ τὰς χεῖρας συνέχει, καὶ ταύταις κεκόλληται. καὶ μέχρι δακτύλων ἐγκεχυμένον αὐτῶν, στενοῦται μὲν περὶ τὴν

ὀσφύν, τὸ δ' ἐφεξῆς τῷ νεανίσκῳ καταπεδήλωσεν. ὁ δ' οἰκίσκους φέρει στρουθῶν. πλάττει φυτὸν, δόλον πλέκει κατὰ πλινθῶν, καὶ περιεργάζεται τὸ πλευρόν· ὅλον λειμῶνα φυτεύει. στρουθοὺς τῷ λειμῶνι παραπετάννυσι, λεπτῇ μηρίνθῳ τούτους αὐτικαθέλκων πυκνά. τὸν δόλον οὐ συνορᾷ τὸ πλινθὸν, τὴν μηχανὴν οὐκ οἶδε· βλέπει τὸν λειμῶνα τερπνὸν, τοὺς ἐν μηρίνθῳ παραπεταμένους στρουθοὺς, τοὺς ἐν οἰκίσκοις ἡδὺ μελιζομένους καὶ χαρίεν. τοιγὰρ πρὸς τῷ λειμῶνι, πρὸς τοῖς στρουθοῖς, καὶ τῷ δόλῳ συνέχεται. ὁ δὲ τὸν δόλον συσκευασάμενος ἰξευτὴς συνέχει καὶ σφάττει, καὶ τῆς εὐηθείας καταγελᾷ. Μετὰ δὴ τοῦτο ζεῦγος βοῶν ἄροτρον φέρον ἐγέγραπτο, καί τις ἀνὴρ ἀροτρεὺς, ᾧ φαῦλα μὲν ὁ τεχνίτης ὑπέρραψε πέδιλα, φαῦλα δὲ καὶ τἄλλα τὰ περὶ τὸ σῶμα κατεζωγράφησε, φαῦλον χιτῶνα, καὶ ὅλον διερρωγότα· καὶ τοῦτο γὰρ ἐτεχνουργήθη τοῖς χρώμασι· φαῦλον τὸ τῆς κεφαλῆς περι-

ilia preſſulè : ſicque membrorum venuſtatem graphicè laciniat, etiam pedum. Adoleſcens paſſerum caueas fert; dúmque defixis per totum campum viminibus dolum auibus diligenter inſtruit, paſſeres captos expandit, quos tenui fune ligatos frequenter retrahit. Neſcia fraudis volucris, quæ amœnitatem prati, ſpatiantes in eo paſſeres, alióſque in caueis ſuauiter cantillantes inſpicit, ſtatim aduolat capitúrque: qui dolum concinnauit auceps, captos retinet, occidit, væcordiam irridet.

IX. Ecce coniuncti terrã proſcindunt boues; quos arator moderatur, viles calceos indutus, vilia veſtiméta, lacerámque tunicã quam pictor expreſſit: lancum capitis tegmen nullius pariter

Cant. 1: 6. pretij. Niger vultus, non vt Æthiopis, ſed qualis torridis ſolibus colorari amat. Crines pileo aperti, retropenduli, pauci: barba demiſſa denſáque: dextra aratrum quo ſulcum ducit: læua boum ſtimulum geſtat, qui aratoribus pro ſtylo eſt: atque ille boum ſanguine tinctus terram cruore deſcribit.

X. Sequentis ſimile ſchema fuit, ſimilis veſtis, calceus, pileus, omniſque ornatus; diuerſum tamen corpus. Nigra facies, non quidem vt præcedentis; ſed neque candida, vt illius qui in horto depictus eſt; verùm quantùm illo nigrior, tantùm illo candidior. Coma ſine lege ad humeros fluenter vndabat: barbitium non prolixum, ſed in vnum collectum adſtrictúmque, genas inumbrat,

κάλυμμα, ἐξ ἐρίου τάχα συμπιληθέν. μέλαν οὐ καθ' Αἰθίοπα κατεχρώσθη τὸ πρόσωπον, ἀλλ' οἷον ἥλιος μεταχρωννύει. θρὶξ ὀλίγη πρὸς τὸ μετάφρενον. τὴν γὰρ πᾶσαν τὸ τῆς κεφαλῆς ἐπεκάλυπτε κάλυμμα. πώγων καθειμένος καὶ ὅλως βαθύς. ἡ δεξιὰ τῶν χειρῶν ὅλη κατέχει, καὶ πρὸς γῆν ἐμβάλλει τὸ ἄροτρον· ἡ δέ γε λαιὰ βουπλῆγα φέρει, γηπόνων ἀνδρῶν γραφεῖον· ὃ βάπτεται μὲν βοῶν αἵματι, καταγράφει δὲ τῇ γῇ. Ὁ μετ' αὐτὸν, κατ' αὐτὸν τὸ σχῆμα, τὸν χιτῶνα, τὸ πέδιλον, καὶ τὸ τῆς κεφαλῆς περικάλυμμα, καὶ ὅσα περὶ τὸ σῶμα· τὸ γάρ τοι σῶμα διήλλακται. τὸ χρῶμα τοῦ προσώπου μέλαν μὲν, ἀλλ' οὐχὶ κατ' ἐκεῖνον, ὥσπερ οὐδὲ κατὰ τὸν ἐν τῷ κήπῳ γεγραμμένον λευκόν· ἀλλ' ὅσον ἐκείνου μελαίτερον, τοσοῦτον τούτου λευκότερον. ἡ θρὶξ ἀτάκτως πλὴν μέχρις ὤμων ἐξήπλωτο. ὁ πώγων μὴ κατ' ἐκεῖνον ἐκκεχυμένος, ἀλλὰ συμπέπηκται καὶ οἷον συνέσταλται. τῆς μὲν τοῦ

χειρῶν τῆς λαιᾶς ἐξῆπται κλοιοῦ· ἡ δ' αὖ ἑτέρα τὸν ἐν τούτῳ σῖτον ἐξῆγε, καὶ περὶ τὴν γῆν κατεσκόρπιζεν. εἰ δὲ κεκρυμμένοι πένητες τοῖς περὶ τὴν γῆν ἐκάθηντο χάσμασι, καὶ τούτοις ἐσκόρπιζεν, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν. Μετὰ δὴ τούτοις νεανίσκος ἐγέγραπτο σφριγῶν τὸ σῶμα καὶ τὸ βλέμμα θρασύς· ὅλος περὶ θήρας ἐπτοημένος καὶ κυνηγέσια. ἡμαγμένος τὰς χεῖρας, καὶ οἷον θανατῶν κυσί. χεὶρ γὰρ ζωγράφου τὴν τέχνην τἆλλα σοφή, φωνῆς ἥτταται, καὶ ταύτην οὐκ οἶδε μιμεῖσθαι τοῖς χρώμασι. τὸν πολύτα βόστρυχον πρὸς ἓν συνῆγε καὶ συνεδέδετο. ὅλον τὸ χιτώνιον εὐφυῶς συγκεκόλληται τῇ σαρκί, καὶ οἷον ταύτῃ συνέρραπται· ὃ μέχρι γονάτων ὁ τεχνίτης ἐξέχυσε. τὸ δ' ἐφεξῆς μέχρι δακτύλων αὐτὴν διερρωγώς τις πέπλος συνέσφιγγε. καὶ μήρινθος κατὰ κύκλον συνεπλέκετο. λαγωὸς τῆς λαιᾶς ἐπῃώρητο τῶν χειρῶν· τῇ γάρ τοι δεξιᾷ τοὺς κύνας ὑπέσαινεν. οἱ δ' ὅλοι περὶ ποδῶν

Læua caniſtrum pendet, vnde triticum acceptum terræ credit: quod vtrum pauperibus, ſi modò hiantibus terræ rimis occuluntur, diſtribuat, pictor oculis arbitrari non permiſerat.

XI. Adoleſcens vndecimo loco florenti corpore cernitur; oculus audaciam ſpirare videtur. At ille venationi

Perditus incumbens eius pallebat amore.

Cruentis manibus, canes hortatur. Sed pictor aliâs ſapientiſſimus in voce victus eſt; neque enim illam coloribus exprimere potuit. Crines in vnum conglobatos nodus adſtrinxerat: Veſtis ad genua fluxa membris preſſulè adhæret, his velut adſuta; cætera lacero panno ad vſque digitos tecta, tortilíque in modum hederæ fune adſtricta, læua leporem ſuſtinet, dextra canibus blanditur: at illi adoleſcentis propter pedes

volutati colludunt.

XII. Vltimo loco vastis mirus incendijs crater depingitur: at ille

Eructátque globos flammarum, & sydera
lambit
Assiduus, ruptúsque cauis fornacibus
ignis.

Dubium videtur quæ tã fortis caussa hoc incendium volvit; siue demissum cælitus in terras, siue ab terra in cælos fertur. Igni assidet vir senio confectus, rugarum asperitate & barbæ capillíque canitie venerandus. Pellis caput ad ilia vsque occupat; nudæ manus pedésque ac magna ventris pars, manibus tamen veluti flammam ad se trahere adeóque excitare videtur.

Horum aspectu in stuporem attoniti scire ardebamus quid illa connotarent: Cratisthenes præcipuè; nam me Ismenes amor totum habuit. Ac cætera quidem in horto placuerunt, antequam Ismenem vidissem, aut potius antequam nimiùm illam

ἐκυλινδοῦντο τοῦ νεανίσκου, καὶ οἷον συνέπαιζον. Τέλος κρατῆρες πυρὸς ἐγεγράφατο, καὶ φλὸξ ὡς ἀπὸ πηγῆς, μέχρις ἐς αὐτὸν οὐρανόν, ὡς μηδ᾽ ἔχειν μαθεῖν, εἴτ᾽ ἐξ αἰθέρος εἰς γῆν ἐκχεῖται τὸ πῦρ, εἴτ᾽ ἀπὸ γῆς ἐξῆπται πρὸς οὐρανόν. καί τις ἀνὴρ ἑκατοντάπελος παρακάθηται τῇ φλογί· ὅλος ῥυτίς, ὅλος πολιὰ καὶ τὴν κεφαλὴν καὶ τὸν πώγωνα· διφθέραν ἐνδεδυμένος ἐκ κεφαλῆς ἐς ὀσφύν· τὰ δ᾽ ἄλλα γυμνός, τὼ χεῖρε, τὼ πόδε, καὶ τὸ πολὺ τῆς γαστρός. ἐκπεπταμένας εἶχε τὰς χεῖρας, καὶ οἷον μετέβαλλε τὴν φλόγα καὶ μετερρίπιζε, καὶ ὅλην μετῆγε πρὸς ἑαυτόν. ταῦθ᾽ ὁρῶμεν, καὶ τοῖς παραδόξοις πληττόμεθα, καὶ τί βούλεται τὰ γεγραμμένα καὶ σφόδρα μαθεῖν ἐβουλόμεθα, καὶ μᾶλλον ὁ Κρατισθένης. ἐμὲ γὰρ ὁ τῆς Ὑσμίνης ἔρως ὅλον μετέβαλλε πρὸς ἑαυτόν. τὰ δ᾽ ἄλλα πάντα καὶ τὰ περὶ τὸν κῆπον τερπνά, τερπνά μοι πρὶν Ὑσμίνην ἰδεῖν, ἢ μᾶλλον πρὶν Ὑσμίνης ἐκκεκαῦσθαι τῷ

ἔρωτι. τοίνυν ἐγὼ μὲν τοὺς ὀφθαλμοὺς μετάγω περὶ τὸν κῆπον, τὴν Ὑσμίνην ἐνοπτριζόμενος. ὁ δέ γε Κρατισθένης ὑπὲρ τὰς κεφαλὰς τῶν γεγραμμένων ἀνδρῶν ἰαμβεῖον ἓν γεγραμμένον ὁρᾷ· τὸ δ' εἶχεν οὕτως·

Τοὺς ἄνδρας ἀθρῶν, τὸν χρόνον βλέπεις ὅλον.

ἐντεῦθεν κατεφιλοσοφοῦμεν τὰ σχήματα τῶν γεγραμμένων ἀνδρῶν. Στρατιώτης ὁ πρῶτος τὸν καιρὸν τοῦ χρόνου παραδεικνύς, ὅτι πᾶς ἐκστρατεύει στρατιώτης ἀνὴρ ὅπλοις ὅλοις καταφραξάμενος. Ὁ μετ' αὐτὸν αἰπόλος, αἲξ ἡ περὶ τοῖς ποσὶ τίκτουσα, καὶ σύριγξ οἷον αὐλοῦσα, τὸν καιρὸν ἐμφαίνει καθ' ὃν ποιμὴν ἐκ χειμῶνος ἐξάγει τὸ ποίμνιον, καὶ καθ' ὃν τίκτουσιν αἶγες, καὶ σύριγξ ἁρμόζεται. Ὁ γεγραμμένος λειμὼν, ὁ ῥόδοις κομῶν καὶ θάλλων τοῖς ἄνθεσιν, ὁ μέσον κατηνθισμένος ἀνὴρ, τὸν καιρὸν εἰκονίζει τοῦ ἔαρος. Τὸ χλοηφόρον γεγραμμένον πεδίον, ὁ τὸν χόρτον τίλλων ἀγρότης, τὸν καιρὸν παρίστησιν ἐμφανῶς καθ' ὃν ὁ

deperirem. Itaque circumlatis per hortum oculis eam velut in ſpeculo intuebar. Cratiſthenes interea inſcriptum capiti iſtorum hominum Iambum legit; qui ſic habuit,

Hos intuere, & omne tempus inſpicis.

Omnium itaque explicationem ſic exorſi ſumus.

MARTIVS. Primus militari habitu depictus, opportunum anni tempus deſignat, quo armati milites in expeditionem ducuntur.

APRILIS. Secundus opilio qui

Paſtorali carmen meditatur auena,

cuiúſque ante pedes parturiens capra pingitur; tempeſtatem eam connotat qua gregem hieme dilapſa paſtor educit, qua capellæ pariunt, qua fiſtula canere ſolet.

MAIVS. Campus tertio loco roſis, floribúſque omnis generis luxurians, eiúſque in medio vernanti veſte ætatíſque flore luculentus adoleſcens veris amœnitatem indicat.

IVNIVS. Viride pratum occupatúſque in ſecando fœno ruſticus, illius ſpatia menſis demonſtrat quo

maturum fœnum demeti postulat.

Ivlivs. Quintus inter segetes falcē gestās, operæque messoriæ incumbēs, æstiui sideris interualla designat.

Avgvstvs. Sequens ex balineo nudus, bibénsque ac æstuans, ortum Caniculæ, vrentémque aëris sæuitiam ostendit: quo præcipuè tempore arentia mortalium corpora exsiccari certum est.

September. Septimus vuas carpens, expriménsque, tempestiuæ vindemiæ maturitatem exhibet.

October. Auceps verò hoc anni tempus indicat quo volucres hyemis ergô fugam instruunt, & loca calidiora secedunt.

November. Aspicis arantem sedulò agricolam; tempestas illa est quam Pleiadum ab ortu arationi tribuit Hesiodus.

December. Decimus qui frutum ferit, sationis tempus indicat.

Ianvarivs. Adolescens cum lepore venatoris habitu, inter canes quibus blanditur, venationis tempus exprimit, postquam scilicet

ἄρτος πεπαίνεται, καὶ τὴν ἐκτομὴν ἐπαιτεῖ. Ὁ μέσον ἀσταχύων ἀνήρ, ὁ τὸ δρέπανον ἔχων καὶ θερίζων τὸν ἄσταχυν, τὸν καιρὸν τοῦ θέρους σοι καταζωγραφεῖ. Ὁ λελουμένος ἀνήρ, ὁ γυμνός, ὁ πίνων, ὁ καυματούμενος, τὴν θέρμην ἐμφαίνει σοι τοῦ καιροῦ, τὴν ἐπιτολὴν τοῦ κυνός, ὅθεν τὸ σῶμα καταξηραίνεται. Ὁ τοὺς βότρυς ἐκθλίβων, ὁ τοὺς βότρυς τρυγῶν, τὸν καιρὸν τῆς τρύγης σοι παριστᾷ, καὶ τὸ πεπαῦσθαι τοὺς βότρυας. Ὁ μετ᾽ αὐτὸν ἰξευτὴς ὑπαινίττεταί σοι τὸν χρόνον καθ᾽ ὃν τὰ πτηνὰ τὸν χειμῶνα φείατει, καὶ μεταίρει πρὸς τὸ θερμότερον. Ὁρᾷς τὸν γηπόνον ἐπάροτρον; σπόρος ἐστὶν ὁ καιρός, ὃν καί τις σοφὸς ἐκ τῶν πληϊάδων εἰς ἄροτρον ἠκριβώσατο. Ὁ μετ᾽ αὐτὸν σκορπίζων τὸν σῖτον, σπορεύς ἐστι, καὶ τὸν τοῦ σπόρου καιρὸν καθυπεμφαίνει τῷ ζωγραφήματι. Ὁρᾷς τὸν ἐν μέσῳ κυνῶν νεανίσκον τὸν τὸν λαγωὸν φέροντα, τὸν τοὺς κύνας καθυποσαίνοντα; τὸν τῆς θήρας καιρὸν σοι παρίστησιν. ἐπεὶ γὰρ

συνῆκται ταῖς ἀποθήκαις ὁ σῖτος, καὶ οἶνος, καὶ τἆλλ' ὁπόσα συναγαγεῖν ἀγαθὸν, ἀλλὰ δὴ καὶ τὰ περὶ τὸν μῆνα εὖ διετέθη, καὶ γεωργικῶς καὶ κηπονικῶς ἀνέσεις καὶ θήραις καὶ κυνηγεσίοις καιρὸς ἀφωσίωται. Ὁ πολιός ἐστιν ἀνὴρ, ἡ ῥυτὶς, ὁ τῇ ἑστίῃ ἐμπελαδὸν παρακαθήμενος, τὸ δριμὺ τοῦ χειμῶνος καθυπεμφαίνει μοι· οὐχ ἧττον δὲ καὶ τοῦ γήρως ψυχρόν. ὁ γάρ τοι χειμὼν διὰ κόρης ἁπαλόχροος οὐ διάησι, τροχαλὸν δὲ γέροντα τίθησιν. οὕτω τοίνυν καταφιλοσοφήσαντες τὴν γραφὴν ἐπὶ τὸ δωμάτιον ἐχωροῦμεν· ὕπνου γὰρ ἐκάλει καιρός. καὶ ὁ μὲν Κρατισθένης περὶ τὴν κλίνην ἐγένετο· ἐγὼ δ' ἀνεκαρτέρουν τῷ κήπῳ τὴν Ὑσμίνην ἐθέλων ἰδεῖν, καὶ ὅλους πρὸς τὴν πόλιν εἶχον τοὺς ὀφθαλμούς. νοῦς γὰρ ἔρωτι τραφεὶς, ὅλον καθ' αὑτὸν ἀναπλάττει τὸν ἔρωτα, καὶ τοὺς ὀφθαλμοὺς μετάγει περὶ τὸ πλάσμα, κἂν ὅλον ὁρᾶν δοκεῖ τὸ πλαττόμενον. οὕτω πῦρ ἔρωτος πεσὸν εἰς ψυχὴν, καὶ

repoſita in horrea ſeges, vinúmque ac omnia quæ colligere expedit recondita ſunt. Futuri etiam cura, quantum ad rem ruſticam ſpectat, rectè habita, tum demum otio ac venationibus dicatum tempus vacat.

FEBRVARIVS. Vltimus ſenex largiſſimæ flammæ proximus, hyemis aſperitatem, ac ſenectutis frigiditatem oſtendit: nam hiems

Per tenelli corporis virginem non perflat,
Sed incuruum ſenem efficit.

Ita his omnibus explicatis cubiculum contendimus: commodum enim dormiendi tempus erat. Iam ſe lectulo Cratiſthenes collocauerat: ego nimio Iſmenem videndi deſiderio oculis in portam contuitu pertinaci intentis horto non excedebam; animus enim amore ſaucius, pérque varias mentis curas illum ſuum amorem verſans reuoluénſque, ſi oculos præterea ad obiectum quod fingit conferat, prorſus rem fictam ſibi cernere videtur: nempe cùm mentē cæca hæc flāma peruaſit,

ipsas rerum naturas transformat adeóque transmutat. His occupatum Cratisthenes lecto surgens in cubiculum reluctantem inuitúmque traxit; Nox prouecta est, inquiens, nocti verò parêre decet. Mi Cratisthenes, subieci ego, ecce modò picturas illas omnes oculis arbitrati sumus; inspectas etiam inscriptiones illis adaptauimus, & hyemi quidem ac æstati veríque & cæteris anni tempestatibus definitum proprium tempus fuit. Amor verò cur neque pictus, neque illi tempus vllum hæc pictura tribuit? an quia omni tempore conuenit? Teneo te ex verbis tuis, respondit Cratisthenes, atque omnino secundum ea quæ proposuisti vinco. Ecce picturam, nec aspernandus pictor est, quia hyemi, æstati ac veri suum tempus dedit; Amori verò nullum: nam si vltra præscriptos fines progreditur, tyrannis est: quòd si nos sæpiusculè subegit, ex his quæ rarò aut aliquo casu accidere solent,

τὰς φύσεις αὐτὰς μεταπλάττει καὶ μεθαρμόζεται. καὶ ὁ Κρατισθένης τῆς κλίνης ἀναστὰς ὑφέλκει με περὶ τὸ δωμάτιον, νὺξ δ᾽ ἤδη τελέθει, λέγων, ἀγαθὸν καὶ νυκτὶ πείθεσθαι. ἐγὼ δὲ πρὸς αὐτόν, νῦν τὰς γραφὰς ὅλας ἀναμετροῦμεν τοῖς ὀφθαλμοῖς. τὰς ἐπιγραφὰς ὁρῶμεν, καὶ ταύτας ταῖς γραφαῖς προσηρμόττομεν. καὶ θέρει μὲν, καὶ ψύχει, καὶ ἔαρι, καὶ τοῖς πᾶσιν ἁπλῶς καιρὸς ἀφωσίωται· Ἔρως δ᾽ οὐ περιγέγραπται τῇ γραφῇ. οὐ πρὸς καιρὸν τῇ τέχνῃ μετακεχρωμάτισται· πάντως ὅτι παντὶ καιρῷ μεθαρμόζεται. ὁ δὲ Κρατισθένης, ἰσχυρῶς σε καταπαιδεύω τοῖς χείλεσι, καὶ τοῖς σοῖς τὴν νικῶσαν ἔχω προβλήμασιν. ἐπεὶ γὰρ ἡ γραφή, καὶ ἀπαράγραπτος ὁ γραφεύς. θέρει γὰρ καὶ ψύχει καὶ ἔαρι, καιρὸς ἀφωσίωται κατά γε τὴν γραφὴν καὶ τὸν λόγον τὸν σόν, ἔρωτι δ᾽ οὐδαμῶς. ἀλλὰ δ᾽ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷ, τυραννὶς τὸ πρᾶγμα· ἀλλὰ καταδυναστεύσας πολλάκις ἐκράτησε παρ᾽ ἡμῖν,

ὡς νόμος τὸ ἀθλίον. ἡ γάρ τοι τοῦ ζωγράφου γραφὶς Ἑρμοῦ μοι ἀκόντιον· ὅλη κατεστομωμένη τοῖς ἐκ τῶν γεγραμμένων προβλήμασιν. ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην· ἀλλ' αὐταῖς ταῖς τῶν χρωμάτων βαφαῖς ἐκθηλυνθήσεται τὸ ἀκόντιον. Ἔρως γὰρ προγέγραπται βασιλεύς· καὶ πᾶσα φύσις ἀνδρῶν, ὡς δούλη παρίσταται. ἄνδρες δὲ πάντως καὶ οἷς ὁ γραφεὺς τοὺς καιροὺς ἐνηρμόσατο. εἰ γοῦν τὸ πᾶν τὸ καθόλου δουλοῦται τῷ Ἔρωτι, πῶς τὸ μερικὸν ἐκφύγῃ τὴν δούλωσιν; εἰ δὲ τὸ πᾶν πλῆμα χρόνου καὶ διάστημα ἐξ ἡμέρας καὶ νυκτὸς ὡς ἐξ ὕλης τὴν σύστασιν ἔσχηκεν, αὗται δὲ δοῦλαι κατὰ τὴν γραφὴν καὶ τὸ σὸν μυσταγώγημα· εὔδηλον ὡς καὶ τὸ ἐκ τούτων καὶ δι' αὐτῶν τὸ ὅλον ἐν ὅλαις αὐταῖς οὐκ ἀποφύγῃ τὴν δούλωσιν, ἀλλ' ἄκων συνδουλαγωγηθήσεται. ταῦτ' εἶπον, καὶ τὸν Κρατισθένην εὐθὺς κατεφίλησα, νικῶ σε, λέγων, Κρατίσθενες. ὁ δ', ἔστω, νενίκηκας· γινώμεθα περὶ τὸ δωμάτιον. καὶ

iura non conſtituuntur. Mihi certè pictoris ſtylus Mercurij iaculum eſt: omnes ab illis quæ in hac pictura propoſuit, vires ſuas ac auctoritatem habet: ſed tamen, inquam, huius iaculi vim ijſdem ipſis picturis frangi minuíque poſſe certum eſt. Amor enim Rex pingitur, cuius ad obſequium omnes homines paratos eſſe conuenit: at illi quibus tempora & menſes pictor adtribuit, homines ſunt. Si igitur vniuerſa Amori famulantur ac ſeruiunt, quomodo ſingula ſeruitutem illam effugient? Præterea ſi temporis lapſus & interualla in dies noctéſque diuiſa ex his tamquam ex materia componuntur; iſtæ verò mulieres, dies ſcilicet nóxque, ſecundum doctrinam tuam ac picturæ argumentum illi parent; prorſus liquidò patet, cætera omnia quæ ex illis per illas aut in illis ſunt, ad infinitatem obſequij deuentura ſeruilis, etiam inuita. Hæc effatus Cratiſtheni oſculum libaui: Vici te, mi Cratiſthenes, inquam. Eſto, infit ille, viciſti, ſed in cubiculum pergamus;

ſtatímque cubiculo & lectulo redditi ſumus. Auditus interea ſtrepitus in horto, ſtrato me excuſſit: cúmque ad Iſmenem quam fonti vicinam intuebar, aduolarem, Amoris pedum, quos præter hominum morem alatos habet, recordatus, pictoris induſtriam laudaui: nam & pedibus meis amor addidit alas; confeſtímque deuorato pudore ambabus puellam detinens ſuauiari occœpi. Illa pudore metúque ac admiratione defixa, O impudentiā præconis, exclamat. Ecquid cauſſaris? Nihil, inquam, præter dulcem & amatum Amoris morbum. Rurſúſque petitis crebriter ingeſtis baſiis leniter preſſam & pectori admotam meo, velut animæ in parte & flore locaui. Nam & digitos ſtringens & clementer morſicans ſorbillantibus illam ſuauijs haurire mihi videbar: mutuo præterea corporis ambitu, vt hedera cupreſſum, alligaui, ijſdem cum ea radicibus iungi cupidus, imò proprias naturæ vices communicare: adeò

γεγονότες ἀνακεκλίμεθα. καὶ ὡς ψόφος περὶ τὸν κῆπον γινόμενος, τῆς κλίνης μ' ἀνέσπασε· καὶ περὶ τὸ φρέαρ τὴν Ὑσμίνην ὁρῶ, πρὸς ἣν κατεπέτασα, καὶ τοὺς πόδας ἐμνήσθην τοῦ Ἔρωτος, ὅτι μὴ κατ' ἄνθρωπον ἦν, ἀλλ' ὅλον πτερόν· καὶ τὸν ζωγράφον τῆς γραφῆς ἐμακάρεισα. Ἔρως γὰρ καὶ τοὺς ἐμοὺς τούτους πόδας ἐπτέρωσε· καὶ μηδὲν αἰδεσθεὶς ὅλαις χερσὶ τὴν κόρην κατασχὼν κατεφίλησα. ἡ δ' ἐξ αἰδοῦς καὶ θάμβους, τί πάσχεις; ἀνέκραξε. τῆς ἀναιδείας τοῦ κήρυκος. ἐγὼ δέ, οὐδέν, εἶπον, ἄλλο πλὴν ἔρωτος τὴν πικρὰν ταύτην καὶ γλυκυτάτην μοι πάθησιν. καὶ πάλιν κατεφίλουν αὐτήν, καὶ πάλιν συνέσφιγγον, καὶ ὅλην εἷλκον πρὸς ἑαυτὸν καὶ πρὸς τὴν ψυχὴν μετεβίβαζον· καὶ τοῖς δακτύλοις κατέθλιβον, καὶ ὅλην κατέδακνον, ὅλην ἀνερρόφων τοῖς χείλεσι· καὶ ὅλος ὅλην, ὡς κιττὸς συνέχοι κυπάριττον· συνεπλεκόμην τῇ κόρῃ, συνερριζούμην αὐτῇ, καὶ τὴν φύσιν ἐζήτουν κοινώσασθαι· καὶ ἤθελον

ὅλην καταφαγεῖν, καὶ ὅλην αὐτὴν κατερεύγεσθαι. ὅλην ἦγον γὰρ τὸ χεῖλος, καὶ ὡς ἐκ σίμβλου τοῦ χείλους τῆς κόρης μέλι γλυκάζον ἐτρύγων τοῖς χείλεσιν. ἡ δέ μοι θυμουμένη περὶ τὸ στόμα, δάκνει μου τὸ χεῖλος, καὶ τοὺς ὀδόντας αὐτῆς ὅλους τοῖς ἐμοῖς κατεφύτευσε χείλεσι. καί μοι περὶ τὴν ψυχὴν ἐβλάστησαν ἔρωτες, τῶν γιγάντων παλαμναιότεροι. ἐγὼ δ' ἀλγήσας, συνέσχον αὐτὰ, καὶ οὐκ ἐστέναξα. ἡ δ', ἀλγεῖς τὰ χείλη, φησίν. ἀλλ' ἤλγησα κἀγὼ τὴν ψυχὴν, ὅτι μου ταύτην καὶ σὺ τὸν ἔρωτα περιπετῶς ἐπὶ τῆς τοῦ πατρὸς τραπέζης ἐξεφαύλισας. καὶ πρὸς τὴν κόρην ἐγὼ, ἰδού μοι τἆλλα τῶν μελῶν καὶ θλιβέσθωσαν· τὰ δέ μοι χείλη τιμάσθω καθυπουργοῦντά μοι τοῖς φιλήμασιν. εἰ δέ μοι κέντρον φέρεις, ὡς μέλιττα, καὶ φυλάττεις τὸ σίμβλον, καὶ πλήττεις τὸν τοῦ μέλιτος τρυγητὴν, ἐγκαρτερήσω τῷ σίμβλῳ, τὸν ἐκ τοῦ κέντρου πόνον ὑφέξω, καὶ τρυγήσω τοῦ μέλιτος· οὐ γάρ με στερήσει

totam in coitu oſculi abſorbere ardebam. Itaque labra labris conſerens, inde tamquam ex alueari mel collegi: ſed illa ori meo pariter oſculum conlabellauit, admorsíſque labellis dẽtium veſtigia impreſſit: quo facto plures Cupidines animo concepi, ſupra terrigenas ipſos pernitioſos. Indolui tamen ad illius morſus, & contractis labijs tenuem ſuſpiritum duxi. Doluerunt, ſubiecit Iſmene, tibi labella, ſed & mihi animus; cùm amorem meum in conuiuio patris temerè aſpernatus es. Ad hæc ego, Ecce, inquam, cætera membra premantur, dummodò illud in pretio ſit quod oſculis fauet. Nam quamuis, velut apis, alueare cuſtodias, mellíſque fures ſtimulo vulnetes, inſiſtam tamen & mellis ergô ſpiculi dolorem ſuſtinebo: nec enim

à dulcedine mellis me labor arcet, vt nec à rosa spina deterret. Cum dicto iterum suauiatus vltimi amoris voto obsequi conabar. Sensit illa; &, Per Ismenem, infit, hoc tibi non succedet. Sed nec ego per Ismeniam remittam, vicissim inquiebam. Ita inter nos Amoris certamen ortum est & Castitatis, nisi pudorem vocare satius fuerit. Amor vastissima incendia velut ab intimis terræ visceribus accendebat. Castitas deciduo cœlis rore virginem spargebat. Ille flagrantis tædæ quam manibus quatiebat, ínque oculos intentabat, conceptam animo flammam largiorem excitauit: sed lachrumarum fontes ex oculis puellæ Castitas reclusit: neque tamen hæc pudoris vnda, Cupidinum ignes obruit; nam victor ferebar: iam Pudiciciam superabat Amor, cùm alicuius ad ianuam nos fefellit in obitum sonitus. Ille Ismenem quærebat.

ιος γλυκύτατος μέλιτος, ὥσπερ οὐδὲ
ανθα ῥόδου, τοῦ ῥόδου κωλύσει με. Ἐ
λιν ἐφίλουν αὐτήν, καὶ πάλιν συνέθλι-
ν, καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον.
δή, ἀλλ' οὐκ ἔσται σοι τοῦτο νὴ τὸν Ὑσμί-
, φησίν. ἐγὼ δ' οὐκ ἀνήσω νὴ τὸν
σμινίαν, ἀντέλεγον. καὶ ἦν ἔρις περὶ ἡμῖν
φροσύνης καὶ ἔρωτος· εἰ μή τις αἰδὼ
ν σωφροσύνην ἐκείνην ἐθέλοι καλεῖν. ὁ
γὰρ, ὡς ἀπὸ γῆς μοι κρατῆρας ἀνῆπτε
ρός, ἡ δ' ὡς ἐξ οὐρανοῦ τὴν κόρην
έκαζεν. ὁ μὲν ὅλας ἐξεκένου φαρέτρας·
δ' αἰδὼς τῇ παρθένῳ ἀσπὶς ἑπταβόειος.
μοί τοι τὴν ἐν χερσὶ λαμπάδα κατ'
θαλμῶν ἀνῆπτεν ἐρωτικῶς, καὶ τὴν φλόγα
ρὸς τὴν ψυχὴν μετερρίπιζεν· οὐδ' ὅλας
ηγὰς δακρύων ἐκ τῶν τῆς κόρης ὀφ-
λμῶν ἀνεστόμωσεν. ἀλλ' ὕδωρ αἰδοῦς
ωτος πῦρ οὐ κατέκλυσεν. ἀλλ' ἤδη στε-
νίτης ἐγὼ, καὶ σωφροσύνης ἔρως ἐκρά-
σεν ἄν, εἰ μή τις παρὰ τὴν πύλην γε-
μενος, τῆς δυστυχίας, τὴν Ὑσμίνην ἐζήτει.

πρὸς ὃ καὶ σφόδρα καταθορυβηθέντες ἡμεῖς, ἀπ' ἀλλήλων ᾠχόμεθα. καὶ ἡ μὲν παρθένος (εἰρήσθω γὰρ καὶ πάλιν παρθένος· οὕτω γὰρ δοκεῖ σωφροσύνῃ καὶ δαίμοσιν) ἐπὶ τῷ φρέατι γέγονε· καὶ ἦν περὶ τοῖς περὶ τὸ στεφάνωμα παρακαθημένοις πλήνοις, καὶ τούτοις προσπαίζουσα. ἐγὼ δὲ περὶ τὸ δωμάτιον γεγονώς, ἀνακεκλίμην εὐθύς, καὶ ὅλος τὸν ὑπονοοῦντα καθυποκρινόμην σαφῶς, ἑαυτὸν μεταπλάττων ἐξ αἰδοῦς καὶ φόβου καὶ ἔρωτος. τὸ κηρύκειον ᾐσχυνόμην, τὸν ἐκ δάφνης στέφανον, τὸ ἱερὸν πέδιλον, τὸν σεμνὸν χιτῶνα, καὶ τὰ Διάσια. τὸν Σωσθένην ἐφοβούμην, τὴν Πανθίαν καὶ ὅλην Αὐλίκωμιν. καὶ μᾶλλον ἐμαυτοῦ τὴν Ὑσμίνην ἠλέουν ἐξ ἔρωτος. ὁ δὲ καλὸς Κρατισθένης τῆς κλίνης ἀναστάς, καὶ περὶ τὸν κῆπον γενόμενος, καὶ μήτε τὴν Ὑσμίνην ἰδών, μήτε τινὸς περὶ τὴν οἰκίαν ἀκούσας φωνῆς· ἦν γὰρ πάνθ' ὁρῶν τὰ γινόμενα· πρός μ' ἧκε λέγων, μηδέν σε

'urbati hoc ſtrepitu ambo ab inui-
em diſceſſimus. Virgo (ita enim vo-
etur, quando Caſtitati Diiſque ſic vi-
um eſt) fonti proxima ſedit cum vo-
ucribus colludens. Ego cubiculo red-
itus cubitum feſtinus conceſſi, dor-
nientem probè mentitus, totúmque
ne diſſimulans præ metu, verecundia
: amore. Pudebat me propter præco-
ium, lauri coronam, ſacrum calcea-
nentum, veſtémque ac Diaſia: So-
henem verò, Panthiam, ac vniuer-
m Aulicomidem timebam. Iſmenes
ræterea, (illam deperibam,) po-
us quàm mei ipſius miſeratio inceſ-
rat. Verùm formoſus Cratiſthenes
 hortum regreſſus, cùm neque Iſme-
em vidiſſet, nec cuiuſquam vocem
tellexiſſet, (ſingula enim inſpexerat)
l me cum clamore venit: Fruſtra


dissimulas. Surrexi pauidus; dúmque timorem meum increpat, toto rursus corpore trepidans Ismenem intueri ardebam, perijsse me affirmans. Cratisthenes silentium imperauit, somnóque frui, subiungens

Sapientis esse etiam in malis sapere quæ oportet.

Silui; sed oculos meos aut somnus oderat, aut reueritus fugiebat. Steti peruigilans, pérque varias curas animum versans. Non deinceps Ismeno oscula libabo, non digitos premam; non hederaceos intimabo amplexus. Non vltrà nectaris poculũ, sed amaroris præbebitur. Nulla mellis posthac vindemia relinquitur, nulla gratissimi vulneris spes; sed nec osculis puellam sitienter sorbillabo: quas omnes nequitias seriò lusi. Hæc inquies animus reuoluebat, dum vberes lachrumæ

τοῦ πλάσματος. ἐγὼ δ' ὅλος ἀνέστην ὑπότρομος. καὶ ὁ Κρατισθένης, τῆς δειλίας τοῦ κήρυκος. ἐγὼ δ' ὅλος καὶ πάλιν ἤμην ὑπότρομος, καὶ τὴν Ὑσμίνην ἐζήτουν ἰδεῖν, λέγων, ὠλώλειν, Κρατίσθενες. καὶ ὁ Κρατισθένης, σίγα, φησί, καὶ περὶ τὸν ὕπνον γενώμεθα· σοφὸν γάρ τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν. ἐγὼ δ' ἐσίγων μέν· ἀλλά μου τοὺς ὀφθαλμοὺς καὶ ὁ ὕπνος ἐμίσησε, καὶ δυσωπούμενος ἔφυγε. καὶ ἤμην ὅλος ἄγρυπνος. ὅλος ὅλας ἀναπλάττω ὑποθέσεις τῷ λογισμῷ· καὶ τέλος ὡς οὐκέτι τὴν καλὴν Ὑσμίνην καταφιλήσω· οὐκέτι καταθλίψω τοὺς δακτύλους ἐρωτικῶς· οὐκέτι κατὰ κιττὸν συμπλακήσομαι· οὐκέτι νέκταρ, ἀλλὰ κόνδυ πικρίας κατακεράσομαι· οὐκέτι τρυγήσω τοῦ μέλιτος· οὐκέτι τῷ κέντρῳ πληγήσομαι· οὐκ ἐκφορήσω τὴν κόρην τοῖς χείλεσιν. ἃ πάντα σπουδάζων ἐρωτικῶς ἔπαιζον. ταῦτ' ἐπλαττόμην εἰς νοῦν, καὶ τοῖς δάκρυσι κατὰ ποταμοὺς τὴν


ὀφθαλμῶν ἐξεχεῖτό μοι. καὶ ὁ μὲν κατα-
κλύσας τοὺς λογισμοὺς ἀναπέπνιξε, καὶ
καταμεθύσας εἰς ὕπνον μ' ἀπήγαγεν.



ΒΙΒΛΙΟΝ ε.

ΚΑΙ δή με κατακοιμώμενον ὅλος χορὸς ὀνείρων περιεστοίχισε· καί μοι συνέπαιζε, καὶ κατέπαιζεν ἴσα παίζουσιν ὄνειροι. ὁ μέν μοι τὴν Ὑσμίνην ὑπεζωγράφησε συμπαίζουσαν· φιλουμένην, φιλοῦσαν· δακνομένην ἐρωτικῶς, ἀντιδάκνουσαν· ὅλην συμπλεκομένην μοι, καὶ καταπλεκομένην ἐξ ἔρωτος. ὁ δέ μοι καὶ συνανέκλινε ταύτῃ, καὶ στρωμνὴν ἐρωτικῶν χαρίτων ὑπέστρωσε, φιλημάτων, γαργαλισμάτων, θλίψεων, καὶ τῶν συμπλοκῶν, χειλέων περιπλοκῶν, χειρῶν, ποδῶν ἐμπλοκῶν, καὶ τῶν ἄλλων μελῶν. ὁ δέ τις αὐτῶν, ὅλον βαλανεῖον ἐδημιούργησε·

multiplices cogitationes obruunt, ebriósque ambiguitate mentis oculos in quietem flectunt.



LIBER QVINTVS.

POSTQVAM ego quieti concessi,

Me circa paßim varias imitantia formas
Somnia cingebant.

Adeóque colludendi & illudendi, vt solent, finis nullus erat: etenim modò me Ismenémque fingebant,

Ambo purpurea delibantes oscula,
Clemente morsu rosea labella vellentes:

modò amplexus intimantes, iunctósque mox eodem iacentes lecto, quem omnes Amorum lubentiæ cingebant; basia, titillationes, mutuæ compressiones corporum, labiarum coniunctiones, pedum omniúmque membrorum connexiones. Sed & balineum in quo lauaret Ismene, omnibus Cupidinum nequitijs instruebant.

Nam & puellæ amplexus admoui, e-iúſque pectus oſculo preſſiore ver-berani, crebráque morſicatione & la-bellis exſugens lotum exſorbere mihi videbar. Similes nequitias prona in ceruicem meam redhoſtibat Iſmene: verùm illa dum ludit

Meras delitias, meros amores,

repente balineum incendit. Ego his artibus ſitiens, virginis vbera, quæ ſua-uiſſimo lacte ſcaturiebant, in ſomnis arripui, confeſtímque ori admouens frigidiſſimam voluptatem ipſo necta-re dulciorem hauſi. Denique impro-bus ſomnus mutuo ambitu alligatos, ínque vlnis iacentes conſopiuit. Nec mora, cùm Iſmenem geniali lecto ma-gnificè parato nuptiali mundo decen-ter ornatam, ſplendidóque coronami-ne mecum fulgentem, gremio meo collocauit. Domus hymenæum per-ſtrepit.

Largè multiplici conſtructæ ſunt dape menſæ.

καί μοι τὴν Ὑσμίνην συνέλουσε, καὶ πάσας ἐρωτικὰς ἐξεκένωσε χάριτας. περὶ τὸ στῆθος τῆς κόρης ὅλον μου τὸ στόμα συνέρραψε τοῖς ὀδοῦσι δάκνων, τοῖς χείλεσιν ἐκμυζῶν, καὶ τῇ γλώσσῃ μεταβιβάζων εἰς τὴν ψυχὴν τὸν λωτόν. ἃ πολύθ' ἡ κόρη περὶ τὸν ἐμὸν ἀντεπέραττε τράχηλον. καὶ θέλων παίζειν ἐρωτικῶς, τὸ λουτρὸν ἐξεπύρωσε. καί με καταδιψήσας, καὶ τεχνικῶς καταχαυματώσας, τοὺς μαστοὺς τῆς κόρης κρουνούς μοι προὔχε γλυκάζοντας· οὓς τῷ στόματι περιθέμενος, τῆς ψυχῆς μοι τὸ καῦμα κατέψυχε· ψυχρὰν ἡδονὴν πηγάζων γλυκυτέραν καὶ νέκταρος· καὶ τέλος ταῖς ἀλλήλων ὠλέναις ἡμᾶς κατεκοίμησεν. αὐτὸς παστάδα κατέπηξε, νυμφοστολήσας ταύτην λαμπρῶς, καὶ φιλοτίμως νυμφαγωγήσας, καὶ στεφανώσας μοι τὴν Ὑσμίνην μεγαλοπρεπῶς συνεκάθισε. καὶ τράπεζαν παρετίθετο, καὶ τὸν ὑμέναιον ᾖδε, καὶ τοὺς ἔρωτας ἔταττε περὶ τὴν τράπεζαν

ὀρχουμένους καὶ παίζοντας ὅσα παίζουσιν ἔρωτες. ὁ δέ μοι περὶ τὸν κῆπον παλαμναιότερος ὄνειρος, καὶ τὴν Ὑσμίνην εἰσάγει, κἀμὲ τῆς κλίνης διανίστησι. περὶ τὴν κόρην ἐξάγει, καὶ καθυπουργεῖ μοι τὸν ἔρωτα· κἀγὼ τὴν παρθένον ἐφέλκομαι τὰ πρῶτα μὴ θέλουσαν. συνέχω, θλίβω, δάκνω, φιλῶ, περιπλέκομαι, καί τι δρᾶν ἐθέλων ἐρωτικώτερον, οὐ συνεχωρούμην τῇ κόρῃ. καὶ πρὸς ἔριν μετάγω τὸν ἔρωτα. καὶ μέσοις τούτοις ἡ τῆς κόρης μήτηρ ὑφίσταται· καὶ τοῦ πλοκάμου λαβομένη τὴν κόρην, ὡς ἐκ λείας ἐφείλκετο λάφυρον, λοιδοροῦσα τῇ γλώττῃ, καὶ πλήττουσα τῇ χειρί. ἐγὼ δ' ὥσπερ κατακεραυνωθεὶς, ὅλος ἤμην ἐμβρόντητος· ἀλλ' ὁ πάντων ὀνείρων ἀγριώτατος ὄνειρος οὔτε μ' ἀφῆκεν ἀναίσθητον· καὶ τὴν τῆς Παρθίας γλῶτταν εἰς Τυρσηνικὴν μετεχάλκευσε σάλπιγγα, κατατραγῳδοῦσαν τὰ κατ' ἐμὲ, καὶ καταλοιδοροῦσάν μοι τὸ κηρύκειον· βαβαὶ τῆς σκηνῆς, τῆς

Amores saltationem & consuetos ludos explicant. Alius scelestissimus hortum, in eóque visam Ismenem fingebat: méque lecto excitatum ad illam ducens amori meo sedulam operam præstitit. Ego virginem inuitam detinui: póstque crebros amplexus, morsicationes ac basia, solidam demum auferre voluptatem conatus sum: sed quia per illam minus licuit, amorem illum in contentionem traduxi. Proximat interim puellæ mater, quæ crine prehensam trahens, tamquam raptum ex præda spolium, probrísque incilans & sermone indecorans turpi, vapulare iussit. Steti in stuporem attonitus, velut de cœlo tactus. Verùm sæuissimus ille somnus, nec me sensus impotem animíque externatum manere permisit; etenim Panthiæ linguam in Tyrrhenam vtique tubam mutauit, quæ fraudem meam manifestam faceret, & præconium turpi fama differret. Papæ, inquiebat illa, quæ scæna,

quæ diſſimulatio! ô Iupiter diiſque o-
mnes, ecce illum caſtiſſimum præco-
nem, qui à nobis veluti Deorum ali-
quis exceptus & habitus, mœchus,
luxurioſus virginibus vim infert; al-
terque Paris Aulicomidem venit. Il-
le theſaurum meum rapit, diuitias
prædatur. Sed teneo te latronem,
parietum perfoſſorem, ſceleratum o-
pum mearum raptorem. Vos aduoco,
matres omnes, quæcumque virginum
filiarum cuſtodiam peruigiles obitis:
Aſpicite inſidiatorem, lauri corona,
ſacra veſte, calceóque diſſimulatum.
En vt leoninam indutus hiſtrioniam
agit. Sed dolum filiæ caſtitas ar-
guit: iam occulta fraus nudatur;
iam non præco, ſed raptor, ſed la-
tro, ſed tyrannus appellandus eſt.
Agite, infelix lapidibus obrutus

ὑποκρίσεως, λέγουσα, Ζεῦ καὶ θεοί· ὁ κῆρυξ, ὁ παρθένος, ὁ τῆς δάφνης ἐστεφανωμένος, ὁ τὰ Διάσια φέρων εἰς Αὐλικώμιδα, ὁ παρ' ἡμῖν ἴσα καὶ θεῷ φιλοτίμως φιλοφρονούμενος, μοιχὸς, ἀκόλαστος, βιαστὴς, δεύτερος Πάρις ἐς Αὐλικώμιδα, κατασυλᾷ μου τὸν θησαυρὸν, ἀπορύττει μου τὸ κειμήλιον. ἀλλ' ἔχω σε τὸν λῃστὴν, τὸν τοιχωρύχον, τὸν ἀλιτήριον, τὸν ἀποσυλῶντα τὰ κάλλιστα. μητέρες ὅσαι παρθενικοὺς θησαυροὺς κατορύττεσθε, καὶ περὶ τὴν φυλακὴν ἀγρυπνεῖτε τῶν θησαυρῶν, ἰδοὺ τὸν ἐπίβουλον ἔχω, τὸν τῆς δάφνης στεφάνῳ κατακεκοσμημένον, τὸν σεμνῷ χιτῶνι, τῷ ἱερῷ πεδίλῳ, καὶ τῷ κηρύγματι· ὅλην ἐνδεδυμένον τὴν λεοντῆν, ὅλην ὑποπλαττόμενον τὴν σκηνήν. οἷς ὁ γλυκὺς ἀντιπνεύσας τῆς σωφροσύνης ζέφυρος, ἐξελέγχει τὸν δόλον, ἀπογυμνοῖ τὸ κρυπτόμενον. καὶ νῦν οὐκέτι κῆρυξ ὁ κῆρυξ, ἀλλ' ἅρπαξ, ἀλλὰ λῃστὴς, ἀλλὰ τύραννος. ῥαίνετε τῷ τυράννῳ τὸν χιτῶνα γυναῖκες

ἐξυφανούμεθα· καταζωγραφήσωμεν τὴν
σκηνήν· τὴν ὑπόκρισιν τεχνουργήσωμεν,
καὶ στηλιτεύσωμεν τῷ χιτῶνι τὸν τύραν-
νον· ἵν' ᾖ τοῦτο γυναιξὶ κόσμος, παρθένοις
τεῖχος, καὶ στέφανος Αὐλικώμιδος.
τί δ' οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα;
Πολυμήστωρ οὐκ ἐκ γυναικῶν ἐξεκόπη
τοὺς ὀφθαλμούς; ταῦτ' εἶπε, καὶ στρατὸν
καθώπλισε γυναικῶν, καὶ παντελῶς
κατεβάκχευσε, καὶ κατ' ἐμῆς κεφαλῆς
κατεστράτευσεν. ἐγὼ δ' ἐξεθαμβήθην
ὁρῶν, καὶ πρὸς τὸν Κρατισθένην ἔλεγον·
ὀλώλαμεν, Κρατίσθενες. ὁ δέ μου τῇ
γλώττῃ καταθορυβηθεὶς ἀνίσταται τῆς στρω-
μνῆς, πλήσσει με τῇ χειρί, καὶ τὸν μὲν
ὄνειρον, τῆς ψυχῆς, τὸν δ' ὕπνον ἀποσπᾷ
μου τῶν ὀφθαλμῶν. ἐγὼ δ' ἐδόκουν νὴ
τοὺς θεοὺς ἐπὶ τὰς γυναῖκας ὁρᾶν, καὶ πρὸς
τὸν Κρατισθένην ἔλεγον· ἀπολώλαμεν,
ἀπολώλαμεν. Παρθία στρατεύει, αἱ γυ-
ναῖκες τὸ στράτευμα. Ζεὺς δὲ τὸ πρὸ τοῦ
κατεστρατήγησεν, οὗ τὸ κηρύκιον ἔψευσμαι.

tragœdiam verè impleat. Sic vtique opera noſtra figmento ſuus meritúſque conſtabit finis; atque hoc ſupplicio truculentus prædo innoteſcet ad mulierum decus, virginum tutelam, & Aulicomidis perennem gloriam.

An non mulieres occiderunt Ægypti filios? & Polymneſtori femina oculos eruit? His dictis furentium mulierum aciem inſtruere ac contra me ducere viſa eſt. Ego repentinæ viſionis ſtupore pauidus, Perij, Cratiſthenes, exclamaui. Ille turbatus lecto exſiluit, méque tactu quieti reuulſum altiſſimo ſomnio excuſſit. Ego tamen per Deos ipſiſſimas mulieres intueri exiſtimabam; iterúmque, Perij, dixi: Panthia feminarum exercitum aduerſus me ducit: ſed Iupiter cuius præconium mentitus ſum, primus me ſuperauit.

Tu quidem, inquit Cratisthenes, rursus dormire mihi videris. Reijcio somnium istud, subieci; statímque singula quæ dormienti acciderant narraui: vt me ludos fecerant, vt inani edulcauerant gaudio, & quæ cætera finxerunt; Ismenem in horto inuentam, eius castitatem, vim meam, rixam, vltimò Panthiæ aduentum, virginis raptationem; quibus machinis, iniurijs, impetu adorta, qua feminarum acie, cuius intuitu trepidus formosum Cratisthenem crebrò appellaueram: ideóque, Sollicitus sum, inquam,

Quò se se vertant tantæ sortes somniûm:

Fortean futura in somnis numen ostendere sæpius amat.

Nam quæ de luce vsurpant homines, cogitant, curant, vident,
Quæque agunt vigilantes agitántque, ea multùm in somno accidunt.

Hoc tibi euenit, ex quo te Ismenémq; auditus circa ianuam strepitus diuisit. Verùm ecce Sosthenes qui ad nos festi-

καὶ ὁ Κρατισθένης· ἔτι δοκεῖς ὀνειρώττειν μοι. ἐγὼ δὲ πρὸς αὐτόν, ἀποπέμπομαι ἔννυχον ὄψιν. καὶ τὰ παρὰ τοῖς ὕπνοις ἐξηγούμην αὐτῷ, ὅσα με κατέπαιζον ὄνειροι, ὅσα με κατεγλύκαινον, ὅσα με πρὸς ἡδονὴν μετεπλάττοντο· καὶ τέλος τὸν κῆπον, τὴν Ὑσμίνην, τὴν σωφροσύνην αὐτῆς, τὴν ἐμὴν βίαν, τὴν ἔριν, καὶ τὴν ἐπὶ τούτοις τῆς Πανθίας ἐπίθεσιν, τὸν κωκυσμὸν τῆς κόρης, τὴν κατ' ἐμοῦ μηχανήν, τὴν καταδρομήν, τὴν ὕβριν, καὶ ἐπὶ πᾶσι τὸ τῶν γυναικῶν στράτευμα. πρὸς ὃ δὴ σφόδρα καταθορυβηθεὶς τὴν ψυχήν, σὲ τὸν καλὸν Κρατισθένην ἐπεκαλούμην πυκνά. καὶ δέδοικα μὴ τὸ μέλλον μοι τὸ δαιμόνιον ἐν ὕπνοις ἀπεζωγράφησεν· εἰώθασι γὰρ τοῦτο προκηρύττειν ἐν ὀνείροις τὰ μέλλοντα. ὁ δὲ Κρατισθένης, μεθημερινὴ φροντίς ἐστιν ὄνειρος. τοῦτό σε καθυπέτρεχεν, ὅτι ὁ περὶ τὴν πύλην ψόφος ἡμᾶς ἀπ' ἀλλήλων διέσπασεν. ἀλλ' ἤδη Σωσθένην ὁρῶ πρὸς ἡμᾶς ἐρχόμενον

σπουδαιότερον. ἐγὼ δ᾽, ὤλωλον, ὑπερε-ψιθύεισα. ἧκεν ὁ Σωσθένης, καὶ περὶ τὴν πύλην τοῦ δώματος γενόμενος, Ὑσμινία κῆρυξ, φησίν. ἰδού σοι πᾶσα πόλις Αὐλικώμις περὶ πυλῶν. πάντες ζητοῦσι τὸν κήρυκα. τὴν κεφαλὴν στεφανώθητι· τῷ χιτῶνι καὶ τῷ πεδίλῳ κατακοσμήθητι. ὅλον περιδύθητι τὸ κηρύκιον. ἵνα σε καὶ Ποσειδῶν αἰδεσθῇ, καὶ πνεῦμα θύσῃ Διὶ μετάγον εἰς Εὐρυκώμιδα. ἐγὼ δ᾽ ἀλλὰ κἂν ἐδεδοίκειν, κἂν ἔφριττον· κἂν χρωματισμὸν τὰ τοῦ Σωσθένους εἶχον, καὶ ὅλην σκηνὴν ἐνεδυσάμην τὸν κήρυκα· καὶ περὶ τὸν κῆπον γενόμενος, χορὸν ὁρῶ παρθένων οὐκ εὐαρίθμητον. ὃν δὴ πάντα, καὶ χιτὼν κατεκόσμει περικαλλής, καὶ στέφανος ἐκ δάφνης τὴν παρθενίαν παραδεικνύς. εἶδον οὖν, μὰ νὴ τὸν τύραννον Ἔρωτα, τοῖς ἔργοις ὁρᾶν αὐτὸν ἐδόκουν τὸν ὄνειρον. καὶ μικροῦ δεῖν, καὶ αὐτὴν τὴν ψυχὴν ἀπεψύχησα· εἰ μὴ καὶ τὴν Ὑσμίνην εἶδον ἐν μέσῳ κατὰ σελήνην ἐν ἄστρασι. τἄλλα μὲν κα-

us properat. Perij, inquam. Interea
osthenes cubiculi ianuam proximat,
smenia, exclamans, vniuersa Auli-
omis limen tuum obsidet, te vnum
uærit. Tu modò coronam, sacrum
alceamentum, vestémque, ac cæ-
era præconij ornamenta sume, vt tibi
Neptunus felices ventorum animas
Eurycomidem redeunti immittat. E-
go exsternatus animi metuénsque,
tsi Sosthenis orationem in spe-
iem fictam suspicio esset, solennia
amen præconij indutus, horto me
eddidi; statímque maximam puel-
arum multitudinem oculis arbitra-
us sum, omnes candido splendentes
amicimine, & lauri coronamine in-
ignes, ad castitatis indicium fulge-
bant. Vt vidi, vt somnia mea euen-
tum suum consequuta putaui: ita-
que pænè depositus anima, vitáque
sepultus steti, donec se meis ocu-
lis obtulit Ismene puellarum in me-
dio, velut inter ignes Luna minores,

regio habitu, & laureata vt virginem decuit. Ego obtutum acerrimum in illam destituens inclinato leniter capite furtim salutaui. Illa vestem componere simulans & amatorium riponere, multo apertiùs me salutauit, eódens, multo apertiùs me salutauit, eóque facto maxima voluptate animum & audacia impleuit. Accessi horti ianuam, totámque Aulicomidem in deducendo me occupatam offendi. Nam alij venusta carmina iterantes, alij cymbalis constrepentes, & cereis lucernísque luminosi, viam flosculis sternebant: alij tentorijs parandis laborantes hymnorum modulis & acclamationibus cæterísque honoribus prosequebãtur; qui non modò præconibus, sed sacro Deorum immortaliũ comitatui tribuuntur: quæ omnia ne gloriæ perquàm cupidus videar, porrò remetiri nolo. Relicta Aulicomide Ismenes patria, quæ formosis mulieribus nobilis est, Eurycomidem veni, tanquam paradoxus, aut quinquertio, vt omittam ea quæ interim gesta sunt.

τικεκοσμημένην βασιλικῶς, τὴν δὲ κεφαλὴν ἐκ δάφνης ἐστεφανωμένην παρθενικῶς. ὅλην ταύτην ἀτενῶς τὴν κόρην ἰδὼν, καὶ τὴν κεφαλὴν ὑποκλίνας, ὑπέκλεψα τὸ προσκύνημα. ἡ δὲ καθυποκριθεῖσα τὸ τὸν χιτῶνα διακοσμεῖν, ἀντιπροσεκύνησε φανερώτερον, καὶ λίαν ἐρωτικὸν ἐμειδίασε· καί μου τὴν ψυχὴν ὅλην ἐπλήρωσεν ἡδονῆς ἀρρήτου καὶ χάριτος, καὶ θάρρους ἐνέπλησεν. ἥκω περὶ τὴν πύλην τοῦ κήπου, καὶ πᾶσαν ὁρῶ τὴν Αὐλίκωμιν, ποικίλην μοι τὴν προπομπὴν ἐξυφαίνουσαν, ᾠδαῖς, κυμβάλοις, λαμπάσι, πασάσι, ῥόδοις, ἄνθεσιν, ὕμνοις, ἀλαλαγαῖς, καὶ πᾶσιν ἄλλοις ὅσα μὴ κήρυξιν, ἀλλὰ θεοῖς ἀφωσίωται. καὶ ἵνα μὴ δοκῶ σοι δοξομανεῖν καταμέρος καταρρητορεύων τῷ λόγῳ τὴν προπομπὴν, οὕτω τὴν καλὴν ἐξῆλθον Αὐλίκωμιν, τὴν τῆς Ὑσμίνης πατρίδα, τὴν καλλιγύναικα, ὡς ὀλυμπιονίκης καὶ νικήσας τὸν πένταθλον. καὶ ἵνα τὸ ἐν μέσῳ παρῶ, περὶ τὴν ἐμὴν

ἧκον Εὐρύκωμιν. καὶ πάλιν ἡ πόλις ὀρθή,
καὶ πάλιν ὄχλος ἐπὶ τὸν κήρυκα, καὶ πάλιν
ἔρεις ἐν πόλεσι. δοκεῖ γάρ μοι πόλις Εὐ-
ρύκωμις πατρὶς ἐμὴ πρὸς αὐτὴν ἐρίζειν
Αὐλίκωμιν τὴν τῆς Ὑσμίνης πατρίδα, καὶ μὴ
παραχωρεῖν τῶν πρωτείων τῆς προπομπῆς.
οὕτω ξένως, οὕτω λαμπρῶς, οὕτω φι-
λοτίμως, οὕτω βασιλικῶς ἐπ' αὐτὸν ἥκω
βωμὸν ξενίου Διός· καί μοι συνείπετο
πᾶν ὅσον ἐκπλοῦσαν ἐξ Αὐλικώμιδος.
ἀλλ' ἐμὸς πατὴρ Θεμιστεὺς καὶ μήτηρ
Διάντεια ἐν μέσῳ λαμπρῶς θεάτρῳ καὶ
μέσοις ὄχλοις περιχυθέντες με, περι-
πτύσσονται, καταπλέκοντες, συμπλέκοντες,
τοῖς ἐξ ἡδονῆς με καταβρέχουσι δάκρυσι.
καί με περὶ τὸν οἶκον μετάγουσιν. ἐγὼ δέ,
ἀλλὰ καὶ τὸν Σωσθένην, εἶπον, ὅτι με λαμ-
πρῶς μάλα καὶ φιλοτίμως ἐς Αὐλίκωμιν
ἐφιλοφρονήσατο. πείθεταί μοι τῷ λόγῳ
πατὴρ Θεμιστεύς· καὶ πρὸς αὐτὸν γεγονώς,
χαίροις, Σώσθενες, εἶπε· καί σοι χάρις
ξενίῳ Διῒ τῆς φιλοφροσύνης τοῦ κήρυκος.

Tum verò rursus arrecta ciuitas & populi frequentis turba præconem cingebat: etenim patria mea cum Aulicomide certabat, primas comitatus & pompæ cedere nescia. Ita gratanter & maximo cum honore ad Iouis hospitalis deductus sum, insequente omni quæ mecum nauigauerat turba. Themisteus pater & Diantea mater medio in theatro in amplexus & oscula effusi, promicantibus gaudio lachrymis domum deduxerunt. Ego inter alia quàm magnificè Sosthenes exceptum me Aulicomide habuisset, patri recitaui. Vix fidem feceram, cùm illum accedens pater, Saluus sis, inquit; nos tibi comitatis tuæ gratiam & Ioui hospitali habemus:

atque è vestigio larem nostrum succedere voluit vnà cum omnibus qui nobiscum nauigauerant. Ingressis statim apposita est mensa. Themisteus ac Diantea egóque depositis præconij insignibus accubuimus, quà in hortum prospectus erat. Aduersi Sosthenes, Diantea ac Ismene. Laudaui ordinem conuiuij tacitus, faustíque ominis loco accipiens, in felicitatis parte posui, ab ipsa, vt vulgò dicitur, linea fauentiam amoris expertus. Bibendum erat; iámque Sosthenes ac Themisteus placidè contendebant, qua decet prudentia senes. Victus Sosthenes primus bibit,

καὶ τοῦτον σὺν ἡμῖν ἐπὶ τὴν ἡμετέραν μετήγαγε, σὺν αὐτῇ Πανθία, σὺν Ὑσμίνῃ, καὶ σὺν, ὅσοι τῷ Σωσθένει πρὸς Εὐρύκωμιν ἐξ Αὐλικώμιδος συμπεπλεύκασιν. ἤκομεν οὖν ἐπὶ τὴν οἰκίαν· καὶ τράπεζα παρετίθετο· καὶ ἡμεῖς συνανεκλινόμεθα. ἐκ μὲν οὖν τοῦ τοῦ περὶ τὸν κῆπον μέρους τῆς τραπέζης πλευρᾶς, πατὴρ ἐμὸς Θεμιστεύς, μήτηρ Διάντεια, καὶ τρίτος ἐγώ, ὅλον ἀποθέμενος τὸ κηρύκιον· ἐκ δὲ θατέρου Σωσθένης πατὴρ Ὑσμίνης, Πανθία μήτηρ. καὶ μετὰ δὴ τὴν μητέρα τὴν Ὑσμίνην ἡ τάξις ἐκάλεσεν. καὶ ἐγὼ γοῦν κατ' αὐτὸν τὴν τάξιν ἐπῄνεσα, ταύτης ἐμαυτὸν ἐμακάρισα, τὸ πρᾶγμα κρίνων οἰωνὸν αἰσιώτατον, καὶ ἐξ αὐτῆς, ὥς φασι, γραμμῆς εὐτυχῆ ἐδόκουν εἰς ἔρωτα. πότε γοῦν ἐκάλει καιρὸς, καὶ παρὰ Σωσθένει καὶ Θεμιστεῖ πατράσιν ἡμῶν μικρὸν τοῦτ' ἔπαιζεν ἔρις, οὐχ ὡς παίζουσιν εἰώθει, ἀλλ' ὡς οἶδε παίζειν ἐν γέρουσι φρόνησις. περιπίνει γοῦν Σωσθένης ἡ πλέω-

μενος, καὶ Θέμις δὲ νικᾶται μετ' αὐτόν. νικᾷν γὰρ παρ' αὐτοῖς, ὃ μὴ παρὰ μὴ φρονοῦσιν ἧττα λογίζεται. καὶ μετ' αὐτὰς αἱ γυναῖκες τιμῶσαι σιγὴν, ὅτι τὸ κόσμος ταῖς γυναιξὶν ἡ σιγή. μετὰ γοῦν τὴν Πανθίαν καὶ τὴν ἐμὴν μητέρα Διάντειαν, ἧκε φέρων ἐπ' ἐμὲ Κρατισθένης τὸ ἔκπωμα· τούτῳ γὰρ ὁ πατὴρ οἰνοχοεῖν ἐγκελεύεται. ἐγὼ δὲ λαβὼν, μικρὸν ἐξερρόφησα. εἶθ' ὡς ἐκ μεταμελείας πρὸς τὸν δόντα ἀντιδέδωκα, καταλοιδορήσας αὐτοῦ τῆς ἀταξίας καὶ τῆς, τῆς εὐταξίας, συγχύσεως. ἡ γὰρ τάξις τῇ κατὰ μέτωπόν μου παρθένῳ τὸ προπιεῖν ἐχαρίσατο· ὁ δὲ πεισθεὶς πρὸς αὐτὴν ἐκόμισε τὸ ποτήριον. ἡ δ' ὅλαις χερσὶν ὑπεδέξατο, κἂν ὡς παρθένος ἄκροις δακτύλοις ἐδέξατο· καὶ τὸν νοῦν ὅλον καταλαβοῦσα τοῦ δράματος, εὐχαριστεῖ μοι τῷ σχήματι, μικρὸν τὴν κεφαλὴν ἐρωτικῶς ὑποκλίνασα, εἶτα κυπάριττος ἀνεμουμένη μικρὸν ἐξ εὐκραοῦς ζεφύρου λεπτοῦ. καὶ τοῦτο τὸ σχῆμα χαρίτων μεστὸν καὶ εἴδωλον

ab illo Themiſteus victor; vincere e-
nim apud ſapientes cedere eſt. Ab illis
mulieres; ſed cum ſilentio, quod illas
maximè decet. Ad me tandem Cal-
liſthenes venit; illum enim pater vi-
num præbere iuſſerat. Ego poculi tan-
tillum ſorbillans, mox veluti pœni-
tuiſſet, præbenti reddidi, etiam incre-
pans quòd ordinem conuiuij impru-
denter turbaſſet: etenim virgo quæ
aduerſa ſedebat, prima bibere debuit.
Perſuaſus Calliſthenes puellæ calicem
ingerit. Illa confeſtim ambabus ſuſci-
piens, mox ſummis digitis retinuit; ſu-
bitóque rei geſtæ cõſilium aſſequuta,
geſtu gratiã habuit, ſummiſſo paulùm
capite, veluti cupreſſus, quæ leui ze-
phyrorũ flatu vagat. Tot geſtus ille Ve-
neres exhibuit; viſúſq; mihi eſt merũ

amoris exemplar. Ita communis poculi haustum mutuò amantes alternauimus. Labia præter solitum afficiebantur, dulces amorum succos exsugentes, totósq; nos mutuis obtutibus inuicem in animas admisimus. Estur interea potatúrque. Primò Sostheni Callisthenes vinum præbuit, mox Themisteo ac Panthiæ & Dianteæ matri: demum Ismene acceptum summis digitis poculum ori verecundè admouit, víxque degustatum plenum reddidit, solito virginum pudore ad dissimulationem vsa. Me verò, cuius aspectus ménsque animi in vnam conferebantur, hoc non latuit; statímque poculum postulaui, sitim ex obiecto præconio caussatus. Callisthenes

ἔρωτος. οὕτως ἐκοινούμεθα τὸ ποτήριον· καὶ ἡμεῖς ὅλον συμπίνοντες, καὶ λίαν ἐρωτικῶς καταπίνοντες. οὕτω τὰ χείλη παραδόξως ἀνακεκράμεθα, ὅλον ἐρώτων ἐρατὸν ὀπὸν ἐμβεβλημένοι, καὶ ὅλοις ἀλλήλοις τοῖς ὀφθαλμοῖς μεθέλκοντες ἐπὶ τὰς ψυχάς. πότου καὶ πάλιν καιρός· καὶ πάλιν Κρατισθένης κιρνᾷ· καὶ πάλιν Σωσθένης προπίνει, καὶ μετ' αὐτὸν ὁ πατήρ. Πανθία συνήθως καὶ μήτηρ Διάντεια, καὶ μετ' αὐτὴν Ὑσμίνη παρθένος ἔρωτος πνέουσα. ἡ δὲ κατὰ παρθένον ἄκροις δακτύλοις δεξαμένη τὸ ἔκπωμα, καὶ τοῖς χείλεσι παρθενικῶς προσεγγίσασα, καὶ μόνον γευσαμένη τοῦ πόματος, ὅλον ἀποδέδωκε τὸ ποτήριον, παρθενικῆς αἰδοῦς καθυπουργησάσης τῷ πλάσματι. καὶ πρὸς τὸν Κρατισθένην ἐγώ, οὐδὲ γὰρ οὐδ' ἐμὲ τὸ πλάσμα διέλαθεν, ὅλην ἀτενῶς ὁρῶντα τὴν κόρην, ὅλην εἰκονίζοντα κατὰ νοῦν καὶ ὅλην ἀναπλαττόμενον. ἐμὲ δ' ἐξεπύρωσε τὸ κηρύκιον, καὶ διψηλότατον ἔθηκε. καὶ

μοι τοῦ ἀρχιοινοχόου τὸ ἔκπωμα. ὁ δὲ, (ἀλλὰ τί γὰρ ἄλλο ποιεῖν ἔμελλε;) παρετίθετο. καὶ νὴ τὸν Ἔρωτα τὴν παρθένον ἐδόκουν πίνειν αὐτήν. τὰ χείλη ταύτης κατεφίλουν ἐρωτικῶς, καὶ φιλῶν ὑπέκλεπτον τὰ φιλήματα. ὑπηρέτην εἶχον τὸ ἔκπωμα τῆς ἐμῆς φίλης Ὑσμίνης τὰ χείλη μετακομίζον μοι. ἐξερρόφουν τοῦ πόματος· καὶ νὴ τοὺς θεοὺς τοιοῦτον εἰς αὐτὴν κατέρρει μου τὴν ψυχὴν, οἷον ἐν ὀνείροις ἀπὸ μαστῶν ἐξερρόφησα· καὶ περιεργότερον ὅλον ἐπέβλεπον τὸ ποτήριον, μή τι τοῖς χείλοις τῆς κόρης παρὰ χείλη τοῦ ποτηρίου κεκόλληται. ἡ δ᾽ ὁρῶσά μου τὸ σχῆμα καὶ τὸ βλέμμα καὶ τὴν μεθ᾽ ἡδονῆς τοῦ πόματος ἀναρρόφησιν, ἐρωτικῶς ἐμειδία, καὶ χάριτας ὅλας ὡς ἐν κατόπτροις ἐπε-
166 ζωγράφησε τοῖς ὀφθαλμοῖς, καὶ ὅλον τὸν Ἔρωτα. μετὰ γοῦν δὴ πολυτελοῦς τῆς τροφῆς, ἧς μέχρι κόρος καὶ στόματος ἐνετρύφων· ὀφθαλμοὺς γάρ μοι, καὶ ὅσον εἰωθότως ἡ παρθένος ἐρωτικὸν ἐξω-

(quid enim egisset?) illud præbuit. Videbar ipsam sorbillare virginem, eiúsque labella osculo furtiuo basiare, calicem nactus qui carissimæ Ismenes labia deferret. Itaque bibentis animum simile quid per Deos affecit, vti cùm in somnis mammas eius exsugebam: nam & curiosiùs inquirebam, si qua poculi parte impressa labellorũ vestigia exstarẽt. Illa gestum aspectúmque & cum voluptate vini haustum contemplata subrisit, gratiásque omnes ac ipsum Cupidinẽ oculis tamquã in speculo exhibuit. Post ciborum cupedias quas ore manúque interfeci (oculos enim & cætera corporis mẽbra acutiori sensu prædita Amore velut empta

sibi habebat Ismene) iterum Callisthenes puellæ vinum præbuit. Illa minimùm labellis minuens, matri bibere nolle significauit, diminuta admodum voce, velut

Pinea brachia cùm trepidant stridentia
flabris
Fauonij.

Itaque Callisthenem poculum accipere Panthia iussit: quod fecit, exceptúmque mihi tradidit. Ego esuriens accipere atque exsorbere rebar. Certè plenum basiorum poculum nactus ipsis suauiorum volis os adplicui. Nempe mihi vinum nectar erat, sed quale Venus miscere & Cupidines bibere amant. Poculum verò speculi loco fuit, quod puellam natiuo decore inlustrem in animam deferebat. Postquam exempta fames epulis, & bibendi compressus est amor, sumptuossimo conuiuio finis

ήσατο· καὶ ταύτῃ δουλεύουσιν. ὁ Κλει-
θένης καὶ πάλιν ἐπὶ τοῦ λειτουργήματος
ὶ μετὰ πατέρας καὶ μητέρας ἡμῶν ἐπὶ τὴν
όρην ἧκε κιρνῶν. ἡ δ᾽ ἀλλὰ καὶ πάλιν μι-
ρὸν ἐκροφήσασα, πρὸς τὴν μητέρα
φησὶ παρθενικῇ φωνῇ, καὶ οἵαν ἐκ ζεφύρου
πίτυς ὑπεψιθύρισεν ἄν· μῆτερ, οὐκ
θέλω πιεῖν. ἡ δὲ Πανθία πρὸς τὸν Κλει-
σθένην φησί, τέκνον, λαβοῦ τὸ ποτήριον.
ὁ δ᾽ ἐκ τῶν τῆς κόρης χειρῶν ἀνελόμενος
ταῖς ἐμαῖς παρατίθησιν. ἐγὼ δὲ πάλιν
ὅλην ἐδόκουν τὴν κόρην λαβεῖν, καὶ ὅλην
αὐτὴν ἐκροφᾶν. καὶ εἶχον τὸ ἔκπομα
φιλημάτων γέμον, καὶ διακομίζον φι-
λήματα. καὶ κατεφίλησε τὰ φιλήματα.
καὶ ἦν μοι νέκταρ τὸ πόμα, οἷον Ἀφροδίτη
κιρνᾷ, καὶ πίνουσιν ἔρωτες. τὸ δ᾽ ἔκπομα
κατέπιον, ὅλην αὐτὴν κόρην σὺν αὐταῖς
χερσί, σὺν αὐταῖς ἡδοναῖς μεταβιβάζον
μου περὶ τὴν ψυχήν. καὶ μετὰ πολυτελεῖς
τὰς τροφὰς, καὶ πόσεις, καὶ τἄλλ᾽ ὁπόσα
κοσμοῦσι συμπόσια, κατελύετο τὸ συμ-

πόσιον. καὶ πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια Σωσθένην καὶ Πανθίαν καὶ τὴν καλὴν Ὑσμίνην ἐπὶ τὸ δωμάτιον ἄγουσιν ὃ τούτοις ἀφώριστο. καὶ οὕτως ἀπ' ἀλλήλων ᾠχόμεθα. μητρὸς ἐμῆς Διαντείας περιπλακείσης τῇ κόρῃ, καὶ φιλημάτων πληρωσάσης τὸ πρόσωπον. ἐγὼ δ' ἀλλ' ἐφθόνουν τὴν μητέρα, καὶ τὴν φύσιν νὴ τοὺς θεοὺς ἐδόκουν ἀλλάξασθαι· ἐπεὶ δὲ τοῦτο μὴ παρῆν, τὰ χείλη τῆς μητρὸς κατεφίλησα καταφιλοῦντα τεχνικῶς τῆς κόρης τὸ πρόσωπον. καὶ εἶχον τὴν μητέρα καθυπουργοῦσαν εἰς ἔρωτα καὶ μετακομίζουσάν μοι φιλήματα. περὶ μὲν οὖν δὴ πατρὸς ἐμοῦ καὶ μητρὸς οὐκ οἶδ' ἀκριβῶς πῶς περὶ τὴν παρθένον εἶχον, καὶ πῶς αὐτῆς ἀπηλλάττοντο. ἐγὼ δὲ μόνοις ἀπεσπώμην ποσί· τὴν γάρ μου ψυχὴν καὶ ὀφθαλμὸν καὶ τὸν νοῦν ὡς παρακαταθήκην ἀφῆκα τῇ κόρῃ, καὶ οἴκαδε ἐχώρουν. καὶ περὶ τὴν κλίνην γενόμενος μυρίοις κατετυραννούμην τοῖς λογισμοῖς.

impositus est. Themisteus ac Diantea, Sosthene, Panthia ac formosa Isme-ne cubiculo redditis, discesserunt. Priùs tamen Diantea virgini

*Et dedit amplexus, atque oscula dulcia fi-
xit.*

Inuidebam matri per Deos, adeó-que muliebre secus præoptaui: sed cùm spes decolaret, matris labia sua-uiatus, sic puellæ vultum osculabar. Sic Amori meo mater inseruiebat, sic Ismenes basia deferebat. Cæterùm quo aduersus virginem animo pater matérque discesserint, certò non no-ui; nam solus inde pedibus abstra-ctus, animi mente oculísque veluti depositi, aut idonei fideiussoris lo-co relictis, quieti recessi. Tunc an-xio cogitationum salo fluctuantem ac

mentis incertum somnus fugiebat: Nam Aulicomidis summam erga hospites reuerentiam etiam ad pedes vsque mirabar. Apud nos, inquiebam, quibus & Iouis hospitalis ara & Diasia festum est, vix ad manus vsque. Cur enim puellæ pedes, vt illa meos, honoris ergô non lauabo? cur non osculabor vt osculata est? cur non leuiter premam? cur molliter, vt amantem decet, non fouebo? Ita grauem dominum Amorem expertus, magnam noctis partem perpeti vigilia consumpsi, his amatorijs cogitationibus occupatus: mihíque somnus ac voluptas vigilanti fuit de virgine cogitare. Oculos tamen laboris molestia in somnum trahebat: adeóque amoris ac somni certamen erat, oculis interim obsessæ ciuitatis ad instar in medio stantibus. Tandem velut ex machina somnum in oculos labor eiaculatus est: verùm amor ambiguis

τὴν ψυχὴν ἐπολιορκουμένην, καὶ τῶν ὀφθαλμῶν ἡρπαζομένην τὸν ὕπνον, ὡς λαφυρον. τὴν Αὐλίκω μὲν τῆς φιλοξενίας ἐθαύμαζον, ἣ καὶ μέχρι ποδῶν ἐκτείνει τὸ ξένιον· παρ' ἡμῖν δὲ οὐδὲ μέχρι χειρῶν. οἷς βωμὸς ξενίου Διὸς, οἷς ἑορτὴ τὰ Διάσια. ἵνα τί γὰρ κἀγὼ μὴ τοὺς πόδας πλύνω τῆς κόρης, ὡς αὐτὴ φιλοτίμως τοὺς ἐμοὺς κατέπλυνεν; ἵνα κατ' ἐκείνην φιλήσω κἀγὼ, καὶ θλίψω, καὶ καταμαλθακίσω ταύτην ἐρωτικῶς, ὅσα με τότε κατεμαλθάκισεν; οὕτω κατετυραννουμένην ἐξ ἔρωτος, καὶ τὸ πολὺ τῆς νυκτὸς λογισμοῖς παραμετρουμένην ἐρωτικοῖς. καὶ ὕπνον εἶχον καὶ ἡδονὴν, τὸ περὶ τὴν κόρην ἀγρύπνως διασκοπεῖν. ἀλλ' ὁ κόπος εἰς ὕπνον ἀφεῖλκε τοὺς ὀφθαλμούς· καὶ ἦν ἀγὼν παρ' ἐμοὶ καὶ κόπου καὶ ἔρωτος. οἱ δ' ὀφθαλμοί μου μέσον ὡς πόλις πολιορκούμενοι. ὁ μὲν οὖν βαρὺς κόπος τὸν ὕπνον ὡς ἐκ μηχανῆς τινὸς ἐπὶ τοὺς ὀφθαλμοὺς ἠκροβόλιζεν. ὁ δ' Ἔρως τοῖς ἀλλεπαλλήλοις

τὴν ἔννοιαν ὅλοις καταφραξάμενος μου τοὺς ὀφθαλμοὺς, πρὸς τοὺς ἀκροβολισμοὺς ἀπεμάχετο. καὶ κόπου μετὰ πολὺ κονίστρας ἐκράτησε, καὶ τὴν νίκην ἀπέκλεψεν, ὡς ἐξ ὀπῆς τινος ὕπνον λεπτὸν τοῖς ὀφθαλμοῖς ἐμβαλών. περὶ δὲ τὴν τρίτην φυλακὴν τῆς νυκτὸς πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια σὺν Σωσθένει καὶ Πανθίᾳ, καὶ ὅσοις τούτοις ἐξ Αὐλικώμιδος εἵποντο, περὶ τὸν βωμὸν σὺν αὐτοῖς ἐγλύοντο, θύμασι θύσοντες σωτῆρι Διῒ, καὶ τὰ πρόσφορα λειτουργήσοντες. Ὑσμίνη δὲ μόνη περὶ τὸ δωμάτιον καταλέλειπται· ὅτι οὐ πρόσηκον παρθένοις ἀνδρῶν ἐναντίον χωρεῖν. ἐγὼ δὲ, οὐδὲ γὰρ ἠγνόησα τὸ γινόμενον, περὶ τὴν κλίνην ἐγλυόμην τῆς κόρης εὐθύς. καὶ κοιμωμένην αὐτὴν κατεφίλησα. ἡ δὲ ἐκπλαγεῖσα τῷ παραδόξῳ τοῦ πράγματος, τῆς στρωμνῆς ἀπεπήδησε, βαβαὶ τοῦ θαύματος, λέγουσα. κἀγὼ συνέχων εἰπών, μὴ δέδιθι δέσποινα· Ὑσμινίας ἐγώ. καὶ λέγων πάλιν

curarum motibus marcidis ſuccurrens luminibus, velitationes iſtas cohibuit, donec labor poſt ingens certamen victor tenuem ſomni nebulam occultè iniecit. Circa tertiam fermè vigiliam noctis pater meus Themiſteus ac Diantea mater cum Soſthene ac Panthia, ſingulíſque qui Aulicomide venerant, ad Iouis profecti ſunt, rem illi facturi, pacémque vt decet expoſcere parati. Sola Iſmene, quoniam virgines in conſpectum hominum prodire indecorum eſt, in cubiculo relinquitur. Ego verò (neque enim hoc me fugiebat) ſtatim ad virginis lectulum accurrens, decumbenti ſuauium impreſſi. Exſiluit attonita rei miraculo Iſmene, Papæ! exclamans. Sed ego me Iſmeniam eſſe ſignificaui, monuique ne trepidaret; cum dicto iterum

baſium pangere auſus. Illa ſtatim de patre ac matre vbinam eſſent quæſiuit. Sacrificaturi, inquiebam, ad Iouis hoſpitalis properant; nos Amori non ſacrificabimus? Imò verò nos, pudorémque noſtrum. Confeſtímque virginis in amplexum effuſus ſupinatæ oſcula conlabellaui: quibus adlubeſcebat verecunda, & quaſi ſurpuiſſe viſa. Ego pertinaciùs ſuauia ingerebam, crebrámque morſicationem inſtruens, ſuauiſſimum cibum ſumpſi, qualem amatoribus Venus parat. Ingemuit tenue quid amatorium Iſmene: leuíſque ſuſpiritus ille merum amorem ſtillans meraciorem animo voluptatem ingeſſit. Itaque virgini tamquam viti adhærens, immaturas vuas ore preſſi; ambroſiam qualem Cupidines exprimunt labellis exſugens; digitis præter labias etiam vſus; vt verè animam meam in nectaris dolium cõpreſſam effuſámq; crederẽ. Sic

ἐφίλησα· ἡ δ᾽ ἀλλὰ ποῦ μοι πατὴρ καὶ μήτηρ ἐζήτει μαθεῖν. ἐγὼ δ᾽ εἰς βωμὸν ξενίου Διὸς ὡς θύσωσιν, εἴρηκα. ἡμεῖς δ᾽ οὐ θύσομεν Ἔρωτι; θύσωμεν πάντως καὶ παρθενίαν αὐτήν, καὶ ὅλους αὑτούς. καὶ περιπλακεὶς τὴν κόρην, καὶ ταύτην καταφιλῶν, ἀνέκλινον ἐρωτικῶς. ἡ δ᾽ ἀντεφίλει μέν, ἀλλ᾽ ὡς παρθένος ἐξ αἰδοῦς ὑπέκλεπτε τὰ φιλήματα. ἐγὼ δ᾽ ἐφίλουν ἐρωτικώτερον· καὶ τοῖς ὀδοῦσι δάκνων, τρυφὴν ἐτρεφόμην ἐρωτικήν, οἵαν Ἀφροδίτη τοῖς ἐρασταῖς παρατίθεται. ἡ δ᾽ ὑπεστέναζε λεπτὸν ἀφροδίσιον, καὶ τὸ λεπτὸν ἐρωτικὸν ἀποστέναγμα, ὅλην ἡδονὴν ἐς αὐτήν μοι μέσην ἐστάλαξε τὴν ψυχήν. ὅλην ἀνεπλεκόμην τὴν κόρην, ὡς ἄμπελον· καὶ τοὺς ὀμφακίζοντας τῶν βοτρύων ἐκθλίβων τῷ στόματι, νέκταρ ἐξερρόφουν τοῖς χείλεσιν, οἷον ἀποθλίβουσιν ἔρωτες. καὶ τοῖς δακτύλοις ἀπέθλιβον, καὶ τοῖς χείλεσιν ἔπινον· ἵνα τὸ πᾶν ὡς εἰς πίθον ψυχὴν τὴν ἐμὴν ἐκθλίβῃ μοι τοῦ νέκταρος. οὕτως

ἀκόρεστος ἐγὼ τρυγητής. ἡ δ' ἀντεφίλει
καὶ κατεφίλει με, καὶ κατὰ κιττὸν ἀντεπλέ-
κετο. καὶ οὕτως ἡμᾶς μυρίαι περιεχόρευον
χάριτες. μετὰ γοῦν δὴ συχνὰς περιπλο-
κὰς καὶ φιλήματα καὶ τἄλλ' ὁπόσα παίζειν
διδάσκουσιν ἔρωτες, ὅλον ἐπεχείρουν κα-
ταρροφῆσαι τὸν ἔρωτα, καὶ μηκέτι παίζειν,
ἀλλὰ σπουδάζειν ἐρωτικῶς, καὶ μὴ ὡς
κορώναι κρώζειν ἐν ἀντεπιξένῳ τῷ δώματι.
ἡ δ' ἀλλὰ καὶ λίαν ἀντέτεινε, καὶ χερσὶ
καὶ ποσὶ καὶ γλώσσῃ καὶ δάκρυσιν· Ὑσμινία,
λέγουσα, φεῖσαι παρθενίας ἐμῆς. μὴ πρὸ
τοῦ θέρους ἐκτίλῃς τοὺς στάχυας· μὴ τὸ ῥόδον
τρυγήσῃς πρὸ τοῦ προκύψαι τῆς κάλυκος·
μὴ τὴν σταφυλὴν ὀμφακίζουσαν· μή πως
ἀντὶ νέκταρος ὄξος ἐκθλίψῃς ἐξ ὄμφα-
κος. οὐ θερίσεις τὸν ἄσταχυν, ἀλλ' ὅταν
λευκανθῇ σοι τὸ λήϊον. οὐ τὴν ῥοδωνιὰν
ἀπανθίσεις, ἀλλ' ὅταν τὸ ῥόδον πεπανθὲν
προκύψῃ τῆς κάλυκος. οὐ τὴν σταφυλὴν
τρυγήσεις, ἀλλ' ὅταν ἴδῃς τὸν βότρυν
περκάζοντα. ἐγώ σοι φύλαξ ἀκοίμητος,

oſculi vindemia, cuius ſatias nulla inter nos erat, innumero gratiarum choro ſtipatos. Regerebat ſuauia Iſmene, alligatúmque ederaceo ambitu corpus iungens, amplexus edebat amabiles; donec poſt crebras baſiationes, ac liberiores amoris nequitias ſolidam voluptatem ſeriò decerpere aggreſſus ſum; ne ſi relinquerem, mali ominis loco eſſet. Verùm Iſmene manibus pedibúſque quantum poterat, verbis etiam & lachrymis repugnabat, Iſmenia, inquiens, parce virginitati meæ. Ne ante æſtatem ſpicas velle: ne roſam, antequam è calyculo protuberauerit, aufer; ne immaturã vuam decerpe; ne pro mero acetũ ex acerba referas. Tu grãdia farra metes, tu maturam roſam auferes, tu vuas cùm nigreſcere cœperint decerpes. Ego tibi peruigil cuſtos,

securissima maceria, tutissimum sepimentum ero. Quid tãtum lucri accedet, si pudicitiam meam imminueris? Ego Aulicomidem virgo reliqui: quid me interfectæ virginitatis redire vis? Amo te, nec amorem occulo: nam & animo saucia, vulnus fateor, & quam totis visceribus flammam concepi non abnego. Non ideò tamen pudicitiam, quæ mihi charissima est, prodam, sed diligenti custodia illam tibi seruabo.

Hæc effata, sinum lachrymis impleuit ob-ortis;

quæ vbertim aquæ in modum fluebant. Ego verò, Tu, inquiebam, me Amoris sacris initiasti: tua causa relicto Ioue grauem herum Amorem expertus sum; tu me ex libero seruum fecisti; propter te patrem, patriam, matrem congestásque à parentibus opes, omnia denique parui feci. Tecum igitur moriar. Illámque amplexus basijs impleui. Fluebant loquentis ab oris lachrymæ, quibus inter mutuos complexus cadentibus irriga-

ἀπαραχείρητος αἱμασιὰ, καὶ φραγμὸς ἀνεπίβατος. τί σοι κέρδος ἀποσυλῆσαι μου τὸ σεμνόν; παρθένος ἧκον εἰς Εὐρυκώμιδα. τί σοι κέρδος ἀπάρθενον παλινοστῆσαί με εἰς Αὐλικώμιδα; ἐρῶ σου κῆρυξ· οὐχ ὑποκρύπτω τὸν ἔρωτα. βάλλομαι τὴν ψυχήν. τὸ βέλος ὁμολογῶ. πυρπολοῦμαι τὰ σπλάγχνα· καὶ τὸ πῦρ οὐκ ἀρνήσομαι. πλὴν οὐχὶ καὶ προδώσω τὰ κάλλιστα· τὴν παρθενίαν φυλάξω, καί σοι ταύτην παραφυλάξομαι. ταῦτ' ἔλεγεν ἡ κόρη, καὶ κατὰ ποταμοὺς κατεχένου τὸ δάκρυον. ἐγὼ δὲ πρὸς αὐτήν, ἐπὶ σῇ βίβλῳ κατεμυήθην τὸν Ἔρωτα. διά σε δοῦλος ἐξ ἐλευθέρου γεγένημαι. διά σε φιλίου Διὸς ἀντηλλαξάμην Ἔρωτα τύραννον. οὐδέν μοι πατρὶς, οὐ πατὴρ, οὐ μήτηρ, οὐ θησαυρὸς, ὃν μοι πολὺν ἀπεθησαύρισεν ὁ πατὴρ, οὐδ' ἄλλο τῶν ὄντων οὐδέν. σὺν σοὶ θανοῦμαι. καὶ περιπλακεὶς αὐτὴν κατεφίλησα. καί μου τῶν ὀφθαλμῶν ἀπέρρει τὸ δάκρυον. καὶ περιπλακέντες τοῖς δάκρυσιν ἐβρεχό-

μεθα. καὶ μεθ' ἰκμὸν Ὑσμίνη μου τοὺς ὀφθαλμοὺς κατεφίλει, καὶ φιλοῦσα φησίν· Ὑσμινία, τοῦτο σοι λοίσθιον φίλημα· ἐγὼ γὰρ σὺν πατρὶ καὶ μητρὶ μετὰ τρίτην ἡμέραν παλινοστήσω πρὸς Αὐλικώμιδα· σὺ δ' ἔσῃ πρὸς Εὐρυκώμιδα τὴν σήν. καὶ σοὶ κόρην ἑτέραν ὁ πατὴρ εἰς γάμον ἀγάγεται. καὶ σὺ μὲν θύσεις τοὺς γάμους, τῆς ἐμῆς ταύτης νῦν φίλης Ὑσμίνης λαθόμενος, καὶ φιλημάτων ἐρωτικῶν, καὶ τῶν ἄλλων τούτων περιπλοκῶν· ὧν πάντων εἰς κενὸν ὡς ἐν ὀνείροις κατετρυφήσαμεν. ἐγὼ δ' οὐδ' ἐν ἀΐδαο λήσομαι φιλίας τῆς σῆς, Ὑσμινία γλυκύτατε, καί σοι φυλάξω τὴν παρθενίαν ἀπαρεγχείρητον. οὐδὲ γὰρ αὐτοῦ Διὸς φίλημα τοῖς σοῖς κατεπιθήσω φιλήμασιν. οὐ μὰ τὸν φοβερὸν Ἔρωτα, ὅς με ταῖς σαῖς ταύταις χερσὶν ὡς ὄρνιν παρέθετο. ταῦτ' εἶπε, καὶ παρὰ τὸ στέρνον τοῦτο τοὐμὸν ὅλον κατεπιθεῖσα τὸ πρόσωπον, κατέβρεχέ με τοῖς δάκρυσιν. ἐγὼ δὲ πρὸς αὐτήν; Ὑσμίνη παρθένε, μεθ' ἡμῶν

bamur. Paululum quieuit Iſmene; mox in oculos prona baſium impreſſit, Iſmenia, inquiens, vltimum hoc ſuauium tibi præbeo; etenim Aulicomidem poſt tertium diem reuertar. Tibi in hac vrbe Themiſteus alterius puellæ nuptias conciliabit; cui in manum conuenies, chariſſimæ Iſmenes oblitus, oſculorúmque ac feſtiuæ illius nequitiæ, quæ nos velut in ſomnis lactans vanans protrahit. Ego, ne quidem apud inferos tui immemor, illibatam tibi virginitatem meam ſeruabo; adeóque Iouis ipſius oſcula tuis non anteferam. Non per metuendum Cupidinem, qui me tibi veluti captam auem tradidit. Talia dicenti, pronóque in pectus meum vultu, & illud lachrymis riganti reſpondebam; Iſmene, delitium

meum, lumen oculorum, fons merum mel stillans, Gratiarum imber; tu me exosculata vltimum hoc basium fore dixti. Sed ego & te perditè amo, atque amare porro

Omnes sum aßiduè paratus annos.

Nam ex æquo tibi virginitatem custodiam. Non potestas patris, non persuasiones matris, ab illo proposito dimouebunt. Non per Iouem; non si ipsissimam Venerem votis nuptialibus mihi destinauerint. Aulicomidem præco iui, Eurycomidem amator tuus redij. Interea

Iam Phœbus albicaßit, & recentatur:

Egóque puellam exosculatus è cubiculo illius exterminatus viam ad lectulum festinanti vestigio lucubraui; statímque in profundam quietem sepultus sum.




ἐμὸν, φῶς ἐμῶν ὀφθαλμῶν, πηγή μοι στάζουσα μέλιτος, ὄμβρε χαρίτων. σὺ μὲν φιλοῦσα, λοίσθιον λέγεις τὸ φίλημα. ἐγὼ δ᾽ ὁ σὸς ἐραστὴς καὶ δοῦλος ἐξ ἔρωτος, πρὶν σοι θανοῦμαι. οὐκ ἀποσυλήσω ταύτην. οὐκ ἐξουσία πατρὸς, οὐ μητρὸς πειθώ. οὐδ᾽ εἰ τὴν Ἀφροδίτην ἀγάγωνται. οὐ μὰ Δία πατέρα πάντων θεῶν, οὗ κήρυξ ἧκον εἰς Αὐλικώμιδα πατρίδα τὴν σὴν, καὶ δοῦλος τῶν σῶν χαρίτων εἰς τὴν ἐμὴν ταύτην Εὐρύκωμιν ἀνθυπέστρεψα. καὶ δὴ τῆς ἡμέρας διαγελώσης καταφιλήσας τὴν κόρην ἐξῆλθον τοῦ δωματίου, καὶ περὶ τὴν ἐμὴν εἱλυόμην κλίνην, ὡς ἐν ὑποπτέρῳ ποδί· καὶ τοῖς ὕπνοις ἐκδοσάμενος εὐθὺς, ὡς εἰ περὶ τὴν κλίνην διῆρον αὖθις.



ΒΙΒΛΙΟΝ ϛʹ.



ΜΕΝ οὖν πατὴρ ἐμὸς Θεμιστεὺς σὺν Σωσθένει καὶ μητράσιν ἡμῶν ἐπανῆκον ἐκ τοῦ βωμοῦ ξενίῳ Διῒ τὰ πρόσφορα θύσαντες. καί μοι Διαντεία μήτηρ παρὰ τὴν κλίνην γενομένη τὴν ἐμὴν, ἐξυπνίζει με, λέγουσα, τέκνον Ὑσμινία, καιρὸς ἀρίστου· σὺ δ' οὐκέτι τὸν ὕπνον ἀπώσῃ τῶν ὀφθαλμῶν. ἀνάστηθι καὶ περὶ τὸ δεῖπνον γενώμεθα· σὸς γὰρ πατὴρ Θεμιστεὺς ἀνακέκλιται σὺν Σωσθένει, καὶ τοῖς ὅσοις τὸ δεῖπνον καλοῖς. σὺν αὐτῇ γοῦν μητρὶ περὶ τὴν τράπεζαν γεγονὼς συνήθως ἀνακεκλίμεθα. καὶ πάλιν Ὑσμίνη μοι κατὰ μέτωπον ὅλον τοῖς ὀφθαλμοῖς ἀποστάζουσά μοι τὸν ἔρωτα. ἐγὼ γοῦν ἀτενῶς τὴν κόρην ἰδὼν, καὶ περὶ τὴν τράπεζαν κεκυφὼς αὐτὴν προσεκύνησα,



LIBER SEXTVS.

THEMISTEVS cum Soſthene poſtquam hoſpitali Ioui rite res facta, templo protinus exterminatus eſt: ſtatímque Diantea mater ad lectum accedens altiſſimo me ſomno excuſſit; Iſmenia, inquiens, ientaculi hora eſt, dum tu altiùs ſtertis. Surge modò, & commodùm nos mẽſæ inferamus: iam enim pater tuus cum Soſthene ac cæteris conuiuis accubuit. Itaque ſomno emerſus & lectulo conſuetum locum reſedi. Collocata erat ex aduerſo Iſmene, cuius oculi per meos ad intima delapſi præcordia meis medullis acerrimum commouebant incendium. Illam ergo intentiore aſpiciens acie, curuatus in menſam,

furtiua salutatione, quam regessit, adoraui. Interim mensa dapibus largiter instructa, vinum Callisthenes præbebat. Primus Sosthenes, ab illo Themisteus bibit; nos deinde quo solemus omnes ordine. Tum verò Sosthenes Themisteum sic interpellat: Tu quidem, Themisteu, comitatem istam qua nos excipis, nequaquam nobis, sed hospitali Ioui tribuis. Ille tibi gratiam referet lautissimæ mensæ tuæ, omnísque splendidi apparatus, in Elysio aut beatorum insulis accumbenti conuiuium instruens. Cæterùm abs te precibus obtinebimus, vt cum vxore tua & formoso isto præcone (me digito demonstrans) vrbem nostram succedas: etenim charissimæ Ismenes nuptias proximis Diasijs (id namque tempus constitutum est)

καθυποκλέπτων ἐρωτικῶς τὸ προσκύνημα. ἡ δ' ἀνθυπέκλεψεν, ὡς εἰκός, τὸν τράχηλον παρθενικῶς ὑποκλίνασα. Τροφαῖς πολυτελέσιν ἡ τράπεζα συνήθως κατεκεκόσμητο. καὶ Κρατισθένης κιρνᾷ, Σωσθένης περιπίνει, Θεμιστεὺς μετ' αὐτόν, καὶ συνήθως ἡμεῖς. καὶ ὁ Σωσθένης φησί· τὸ μὲν τιμαῖς φιλοφρονούμενος, Θεμιστεῦ, ξενίῳ Διῒ τῇ φιλοφροσύνῃ, οὐχ ἡμῖν ἀφωσίωσας. καί σε τῆς οὕτω λαμπρᾶς τραπέζης καὶ τῆς ἄλλης πολυτελοῦς δεξιώσεως, Ζεὺς πατὴρ ἀντιδεξιώσαιτο, φιλότιμόν σοι δεῖπνον ἑτοιμασάμενος ἐν ἠλυσίῳ πεδίῳ, καὶ μακάρων νήσῳ, συνανακεκλιμένῳ τοῖς ἥρωσιν. ἐγὼ δέ σε καταδυσωπῶ σὺν ἡμῖν γενέσθαι πρὸς τὴν ἡμετέραν Αὐλίκωμιν, σὺν αὐτῇ Διαντείᾳ, καὶ τῷ καλῷ τούτῳ κήρυκι, τῇ χρείᾳ με παραδεικνύς· Ὑσμίνης γὰρ ταύτης ἐμῆς φίλης παιδὸς θῦσαι τοὺς γάμους βουλόμεθα. καιρὸς δ' ἡμῖν τῆς τῶν γάμων τελετῆς ἀφωσίωται τὰ Διάσια, ἃ νῦν

θύοντες ἐπηυλιζόμεθα εἰς Αὐλίκωμιν,
εἰ δοκεῖ, σωτῆρι Διΐ. παῖς δ᾽ ᾧ τὰ τῆς
ἐμῆς ταύτης Ὑσμίνης λέκτρα προσα-
φωσίωται, συμπατριώτης ἐξ Αὐλικώ-
μιδος ὑπάρχει τὸν τῆς εὐδαιμονίας τρι-
πλοῦν κρατῆρα κεκερακώς. τὰς μὲν δὴ
ψυχικὰς ἀρετὰς, ἀπαράμιλλος· τὰ δὲ
περὶ τὸ σῶμα πρὸς τὴν ψυχὴν ἐρίζει
καὶ φιλονεικεῖ μὴ δεύτερος φαίνεσθαι. τὰ
δ᾽ ἐκτὸς τῇ ψυχῇ καὶ τῷ σώματι συν-
αναχεῖται, καὶ ὅλως συγκέκραται. τοιοῦτον
ἐγὼ τὸν γάμον τῇ φίλῃ μοι ταύτῃ παιδὶ
καὶ Ζεὺς πρότερον ἀφωσίωσεν. εἰ δέ μοι
καὶ σὺ συνεκπλεύσαις εἰς Αὐλικώμιδα
σὺν Ὑσμίνῃ καὶ τῇ τούτου μητρὶ, εὐτυ-
χεστέρους ἡγοῦμαι τοὺς γάμους. ὁ δ᾽ ἐμὸς
πατὴρ Θεμιστεὺς, νῦν Διός, φησί, τρά-
πεζα, καὶ Διασίων καιρός. καὶ τῷ καιρῷ
καὶ τῇ τραπέζῃ τὰ πρόσφορα θύσωμεν.
τὰ δ᾽ ἄλλα Διὸς ἐν γούνασι κεῖται. ταῦ-
τα ὁ Σωσθένης, ταῦθ᾽ ὁ πατήρ. ἐγὼ δὲ καὶ
τοὺς θεοὺς ὅλῳ τῷ νῷ αἴσθησιν συναφή-

ſacrificare placet: ſtatim verò domuitionem parabimus; quam bene vortat ſoſpitator Iupiter. Cæterùm ille qui tori ſanctæ caritatis affectione mutuò pignoratus eſt, eadem oriundus, vberrimum patrimonium incubat, omnibus animi dotibus inſtructiſſimus, quibuſcum virtutes corporis contendere videntur cedere neſciæ. Ita omnia permixta & velut æquabili temperamento confuſa ſunt. Tam beato Iſmenem meam ego primúſque Iupiter connubio beauit; quod tamen feliciùs, ſi mecum nauigaueris, abibit. Iouis hoc conuiuium eſt, reſpondit Themiſteus, nóſque Diaſia agimus; vtrique debitum honorem præſtare decet, cætera Dijs curæ erunt. Dum iſtum ſermonem altercantur, ego per Deos ſenſibus deperditis, extra terminum mentis meæ

poſitus, inconniuo in virginis vultum obtutu fixus, in lapide ſteti gelidus, nihil ſecius quàm vna de multis ſtatuis. Iſmene verò plenis lachrymarum oculis, decoras palmula genas ſuſtinens, & ſtriatam acerba triſtitie frontem gerens, cruciabilem imo de pectore ſuſpiritum duxit: matrémque protinus alloquuta, caput dolere ſignificauit. Illa cubiculo ſe redderet iuſſit: itaque perniciter menſa ſurgens, in illud rectà ire perrexit. Tum verò Diantea quid virginem faſcinaſſet interrogauit. Lingua patris, reſpondit Panthia, quæ nuptiarum admonuit; quarum vt ne nomen quidem ſciret ad hoc vſque temporis diligenter cauimus: virgo enim & ſignati floris eſt. Cætera quæ in conuiuio ſubſequuta ſunt, non obſeruaui: ita Soſthenis verbis tamquam ſideris procella perfractum corruerat caput; imò ciborum vtrum aliquid contruncauerim, per timendam illam

ημοι· καὶ εἶμεν ὡς ἀνδριὰς ἐπὶ τῆς τραπέζης καθήμενος, ὅλος ἀναίσθητος, τοὺς ὀφθαλμοὺς ἔχων ἀτενῶς ἐπὶ τὸ τῆς κόρης βλέποντας πρόσωπον. ἡ δὲ παρθένος δακρύων πληρωθεῖσα τοὺς ὀφθαλμούς, καὶ παρειὰν συλλαβοῦσα τῇ δεξιᾷ, συνέσπακε τὰς ὀφρῦς, καὶ πικρὸν ὑπεστέναξε. καὶ πρὸς τὴν Πανθίαν φησί· μῆτερ, ἀλγέω τὴν κεφαλήν. ἡ δὲ πρὸς αὐτήν, γενοῦ περὶ τὸ δωμάτιον. εὐθὺς οὖν ἐξανέστη τῆς τραπέζης, καὶ παρὰ τὸ δωμάτιον γέγονεν. ἡ γοῦν μοι μήτηρ πρὸς τὴν Πανθίαν φησί, τίς τὴν καλὴν ταύτην κόρην ἐβάσκηνεν; ἡ δ', ἡ γλῶσσα, φησί, τοῦ παιδός, ὅτι γάμων ἐμνήσθη τῆς κόρης, οὓς μέχρι καὶ δεῦρο μὴ μαθεῖν τὴν κόρην ἐφυλαττόμεθα· παρθένος γάρ ἐστι καὶ σεμνή. τὰ δ' ἐφεξῆς τῆς τραπέζης ἀναισθήτως εἶχον· ὡς γὰρ ἔκ τινος ἀστραπηβόλου σκηπτοῦ τοῦ τῶν Σωσθένους ῥημάτων, ὅλην ἀπερράγην τὴν κεφαλήν. εἰ μὲν οὖν ἔφαγον, νὴ τὴν φοβερὰν τοῦ Σωσθέ-

νυς σὴν οἶδα φωνήν. ὁ δὲ καλὸς Σωσθένης, ὁ πρὶν ἡμῖν κηρύσσων τὸν γάμον τῆς θυγατρὸς, καὶ πάλιν, φησὶν, ἐχθρῶς τῆς τραπέζης ἡμῖν, Θεμιστεῦ, ἀλλ' ἴσως τοῦ πότου, καὶ τῆς περὶ τὴν τράπεζαν ποικίλων τροφῶν. εἰ βούλει δὲ, καὶ περὶ τὸν ὕπνον γενώμεθα. ἡ γὰρ δὴ νὺξ καὶ πάλιν ἡμᾶς συγκαλεῖται περὶ τὸν βωμὸν καὶ τὰ θύματα. οὕτως οὖν κατελύετο τὸ συμπόσιον. κἀγὼ τῇ συνήθει μοι κλίνῃ συνήθως ἀνακλιθεὶς, ὅλους εὐθὺς ἡρπαζόμην παρὰ τῶν ὕπνων τοὺς ὀφθαλμούς. καὶ ἤμην ὑπνῶν τῷ παραδόξῳ τὴν ψυχὴν καταθορυβηθεὶς τοῦ ἀκούσματος, καὶ ὅλον τῇ θλίψει τὸν νοῦν καταβαπτισθείς. πάλιν οὖν ὁ συνήθης τῶν θυμάτων καιρός· καὶ πάλιν Θεμιστεύς μοι πατὴρ, καὶ μήτηρ Διάντεια σὺν Σωσθένει, καὶ Πανθία παρὰ τὸν βωμὸν διανυκτερεύουσι· καὶ πάλιν ἐγὼ κλίνης ἀναστὰς τῆς ἐμῆς, παρὰ τὴν κλίνην ἥκω τῆς κόρης, ἣν ὁ καλὸς Σωσθένης εἰς αὐτὴν Αὐλικώμιν ἐνυμφεύσατο, καὶ πάλιν τὴν κόρην

vocem non noui. Verùm bonus Soſthenes qui nuptias quas obitura erat Iſmene nos docuerat, Themiſteu, inquit, iam vina perfunctos poſt tot opipares faſtidioſóſque cibos & pocula agminatim ingeſta, nos demum cubitum concedere æquum eſt. Ruit cœlo nox, iterúmque ad ſacrificia nos paratos eſſe oportet. Ita ſoluto conuiuio me ſolito lectulo reddens, marcentes oculos placida quiete compoſui. Verùm dormientis mens, rei quam audieram miraculo, animúſque triſtitia & anxietudine diuexabatur. Themiſteus ac Diantea hora conſueta cum Soſthene ac Panthia Iouis ad aram peruigilium egerunt. Ego lectulo ſurgens, & ad virginem, quam Aulicomide bonus Soſthenes deſponderat, perniciter euolans, illi,

dum vberibus lachrymis lectum rigat, oscula crebriter ingessi, inter basia quid caussaretur interrogans. Me patris, inquit, illa lingua perdidit. Excepi ego: Age verò, Ismene, aut matrimonium quod adeptum iri me spero inspice, aut aliam mihi nuptialibus votis puellam concilia; iam enim quas affatim lusimus lubentias oblita es. At ego incoram te, dulcissima mellitáque virgo, Deos testes aduocaueram, quòd amorem tuum, nequaquam mentitus, contemptui numquam habiturus te essem, nec indiuidua caritate quidquam potius existimaturus. Nunc verò Sosthenis patris tui consensu Aulicomide pacto iugali destinata es: iámque dicta dos, & tabulis etiam maritus nuncupatus ad nuptias, te domum deductam potietur. Mihi amatori tuo, cuius amoris non me pudet, apud

φιλῶ. ἡ δ' ὅλην τὴν στρωμνὴν κατα-
βρέχει τοῖς δάκρυσιν. ἐγὼ δὲ πάλιν λέγων
φιλῶ, Ὑσμίνη, τί πάσχεις; ἡ δ', ἡ γλῶσσα,
φησὶν, τοῦ πατρὸς μ' ἀπόλλυσιν. ἐγὼ δὲ
πρὸς αὐτήν· σὺ τὰ περὶ τῶν ἐμῶν ἐνο-
πλίζου γάμων, καὶ κόρην ἑτέραν κατα-
μνηστεύου μοι. καὶ ἀναμνηστίας ἐκεινόμην
σοι τῶν πολλῶν τούτων ἐρωτικῶν χαρίτων,
ὧν ὑπερχειλές μοι κεκέρακας τὸ ποτή-
ριον. ἐγὼ δ', ἀλλ' ὦ γλυκυτάτη παρθένε,
γλυκυτέρα καὶ μέλιτος, θεούς σοι διεμαρ-
τυράμην αὖθις, μὴ καταψεύσασθαί σου
τὸν ἔρωτα, μὴ καταπροέσθαί σου τὴν
φιλίαν, μηδ' ὅτι οὖν τῶν ὄντων ἀγάπης
τῆς σῆς ἀνταλλάξασθαι. ἀλλὰ νῦν σὸς
πατὴρ ὁ σεμνὸς τὰ πάντα Σωσθένης, εἰς
Αὐλίκωμιν ἐπήξατό σοι παστάδα, ἔδνα
σοι πολλὰ προσαφώρισε, καὶ νυμφίον ἡ-
τοίμασε. καί σε νυμφαγωγήσει λαμπρῶς,
καὶ φιλοτίμως νυμφοστολήσει. ἐγὼ δ' ὁ
σὸς ἐραστὴς, οὐδὲ γὰρ αἰσχύνομαί σου τὸν
ἔρωτα, παρθενικῷ στεφάνῳ τὴν κεφαλὴν

ἀναδήσομαι· ἢ παρὰ Περσεφόνῃ καὶ τοῖς ἐν ᾅδου φιλοτίμως καὶ πολυτελῶς νυμφαγωγηθήσομαι, λαμπραί μοι παστάδα πηξαμένοις παρθενικήν. σὺ δ᾽ ἀφιλίας ἐρωτικῆς κριθήσῃ, χάρισιν ἐρωτικαῖς κατηγορουμένη καὶ σήμασι τούτοις, ἃ πάντ᾽ ἐξ ἐμῶν καὶ χειρῶν καὶ χειλέων καθ᾽ ὅλου φέρεις τοῦ σώματος. καί σε μὲν πλοῦτος κατακοσμήσει πολυτελῶς, ἐμὲ δ᾽ Πλούτων νυμφαγωγήσει περιφανῶς. ἀλλ᾽ ὢ φιλημάτων ἐκείνων, ὧν εἰς κενὸν ἐτρυφήσαμεν· ὢ θλίψεων σαρκῶν, αἷς μάτην κατωδυνήθημεν· ὢ συμπλοκῶν καὶ περιπλοκῶν, αἷς ἀνωφελῶς ἐνεπλάκημεν. ὢ κακῶς ἰδόντες ὀφθαλμοὶ, καὶ παρὰ τοῦτο θρηνοῦντες ἀτέλεστα. αὕτη μοι χεὶρ ὑπηρέτησέ μοι πρὸς ἔρωτα, καὶ νῦν ὑπηρετήσει πρὸς φάσγανον, ὃ κατ᾽ ἐμοῦ ταύτης ὠθήσω ψυχῆς. ταῦτ᾽ εἶπον, καὶ τὴν κόρην περιπλακεὶς κατεφίλησα, ὄντως σοι τοῦτο, λέγων, λοίσθιον φίλημα. τέλος δέχῃ δὴ τῶν ἐμῶν προσφθεγμάτων.

Perſephonen, Erebíque domos, vmbráſque ſilentes,

irgineam coronam redimito infelix
:ralium nuptiarum choragium ſtrui-
ır. Te verò condemnatam iri certum
ſt, vel teſtimonio notarum quas to-
› corpore ſigilla amoris impreſſa meis
e labellis manibúſque geſtas. Ita tu
iues matrimonium, ego letale obi-
o. O quæ fruſtra libauimus oſcula!
) quos inutiles intimauimus ample-
us, cùm hærentia preſſim Veneris
lutino doluere membra! O ſcæuam
culorum ſortem, qui inacceſſæ for-
ıoſitatis admirationi obtutus ſuos
dmouerunt, perpetuo luctu ideo tor-
ļuendi!

Hæc Veneri famulata manus famulabitur enſi,

ļuem per mediũ corpus tranſadiget.
His dictis oſculum virgini pangens,
Verè, inquam, ſupremũ iſtud oſculum,
ɛ nouiſſima apud te verba depono.

Tu Aulicomidem ad formosum con-
iugem, formosior sponsa venies. Tu
inlustre adepta connubium es; mei
feralis thalami solennia Orcus parat,
ibi demum infortunij mei scenam re-
metiri in coram Orci regia parato. Tibi
nuptiale carmen Sosthenes occinet:
me lamentabili questu Themisteus
producet. Tibi in manum mariti con-
uenienti lætissimos hymenæi cantus
pater personabit; mihi exstincto lu-
gubrem de vitæ exodio næniam sub-
strepet. Ille suaui musicæ supparigres-
sus in nuptiis tuis saltabit: infelicissi-
mus alter lugubri planctu acerbum
meum funus prosequetur. Hæc di-
centis vberibus lachrymis perfusa vir-
go sic tamen respondit: Pol me perdi-
disti, dulcissime Ismenia. Tu mihi pa-
184. tria es, tu parentes, nuptiæ, spon-
sus, dominúsque. An loquentis vo-
cem assiduo fletu interruptam non
audis? sed nec patris mei dicta mentem
meam exsoluere possunt; nec tot amo-

καὶ σὺ μὲν εἰς Αὐλικώμιδα πατρίδα τὴν σὴν ἐπὶ λαμπρῷ νυμφίῳ παλινοστήσεις νύμφη λαμπρά. καί σοι μὲν ὑμέναιον βασιλικῶς κατεπᾴσονται. ἐγὼ δ' ἐς ᾅδου φοιτήσω· καὶ ὅλον χορὸν ἐριννύων συναγαγὼν, ὅλον καταῤῥαγῳδήσω μου τὸ δυστύχημα. καὶ σοὶ μὲν καλὸς Σωσθένης ἐπιθαλάμιον ᾄσει· ἐμοὶ δ' ὁ πατὴρ ἐπιτύμβιον. ὁ μὲν σὸς πατὴρ ἐπὶ σοὶ, γλυκεῖα νύμφη, γλυκὺ μελῳδήσει καὶ τὸ μελῴδημα· ὁ δ' ἐμὸς ἐλεεινὸς Θεμιστεὺς ἐπὶ νεκρῷ παιδὶ γοερὸν ἀνακρούσεται. ὁ μὲν ᾆσμα χορεύσει γαμήλιον· ὁ δ' ἐμὸς ἀθλιώτατος πάντων πατὴρ ἐλεεινὸν μονῳδήσει καὶ πικρὸν ἐξιτήριον. ταῦτ' ἔλεγον, καὶ τὴν κόρην ὅλην τοῖς δάκρυσιν ἔβρεχον. ἡ δ', ὤλεσάς με, φησὶν, Ὑσμινία γλυκύτατε· σύ μοι πατρὶς, καὶ πατὴρ, καὶ μήτηρ, καὶ παστὰς, καὶ νύμφιος, καὶ δεσπότης ἐξ ἔρωτος. ἀλλὰ τήνδε μου γλῶτταν ἐπέχει τὸ δάκρυον. μή σοι στόμα παρθένος τὰς περὶ τὸ στόμα τοῦτο τοὐμὸν ὅλας ἐρω-

πικρὰς καταδήσεται χεῖρας, ἃς εἰς κενὸν ἡμεῖς ἐρωτικῶς ἀντεπαίζομεν. μή σοι τὸ μέλι τρυγήσῃ τοῦ στόματος, ὃ μάτην ἡ φιλεργὸς ἐγώ σοι κατεπόνησα μέλιττα. μὴ οὕτω παμφάγον ἔσται σοι στόμα πατρὸς ἐμοῦ, ὡς τοσαῦτα καταφαγεῖν ἀφροδίσια ὅσα μάτην ἡμεῖς κατεπαίζομεν, ἢ μᾶλλον ἐν ἡμῖν κατέπαιζον ἔρωτες. Ὑσμινία, σὺ τὴν ἐμὴν ταύτην Ὑσμίνην ἐρωτικῶς κατεκήπευσας· σύ μοι καὶ φραγμὸν περιέθου τῷ κήπῳ, μὴ χεὶρ ὁδοιποροῦντος τρυγήσῃ με. θανεῖν ἐθέλεις· ἀλλὰ συναποτίθημι τῷ λόγῳ καὶ τὴν ψυχήν. συναποθανοῦμαί σοι, ὥσπερ σοι ζῶντι συζήσομαι. καὶ δὴ συμπλέκομαί σοι καὶ περιπλέκομαι· καὶ τὸ ζώσιμον ὅλον κοινοῦμαί σοι, ὥσπερ καὶ τὸ θανάσιμον ζητῶ συμμερίσασθαι. καὶ λέγουσα συνεπλέκετο, καὶ συμπλεκομένη μοι πηγὰς δακρύων εἶχε τοὺς ὀφθαλμοὺς, καὶ ὅλον με κατεπέκλυζεν. ἐγὼ δὲ, εἰ βούλει, φημὶ, καὶ τῆς ἐμῆς Εὐρυκώμιδος, καὶ τῆς σῆς

rum millia multa, quos frustra vanis lusimus osculis. Prorsus iniquum esset illum tibi subripere quas ego apis sedula

Excudi ceras, & mella tenacia fixi.

Non adeò insatiabilis pater est, vt tot vnà lubentias auferat,

Quas nobis casso saltem delectamine
Licuit potiri, nec illas Venus inuidit.

Ismenia, tu Ismenes tuæ hortum excoluisti: itaque te illius sepiendi, tutandíque curam suscipere oportet propter malas viantium manus. Nunc verò lucem auersaris: sed existima me pariter anima depositam, omnino indiuiduo vitæ mortísque contubernio. Tecum iungi mihi certum est; iam alligata mutuo ambitu corpora vtriusq; mixturam fecerunt. Ego te partiario tractabo, vitę quidquid inest tribuens, mortis acceptura. Hæc effatam, méque assiduis fletibus perfundentem excepi: Si placet, inquam, solum

vertamus, mutuis animis amare, amari, nec vnquam ab inuicem digredi parati. Amor patria, parentibus, fortunis, omníque beata ædium suppellectile carior est: ille omnium, adeóque cibi, potus, vestiúmque loco erit. Ismene confestim velut ad regias vocata nuptias, Tua sum, inquit; tecum morituram quò placet abducito: lectóque surgens sequebatur, imò trahens præibat, neque manum dimittebat, quamuis profectioni necessaria nondum parata affirmarem. Vix itaque Deos omnes testatus euasi; méque lectulo collocans, per varias curas rem illam versabam: quæ cùm somnum impedirent, statim grabatulo emersus, & splendidam vestem indutus ad

Αὐλικώμιδος ἐφ' ἑτέραν μεταρώμεθα· τὰς πατρίδας, καὶ τεκόντας, καὶ θησαυρούς, καὶ τἄλλα κατ' οἴκους λαμπρὰ φιλίας ἐρωτικῆς καὶ τοῦ συνοικεῖν ἀλλήλοις ἀνταλλαξώμεθα. Ερως δ' ἡμῖν ἔσται καὶ πατρὶς, καὶ τοκεῖς, καὶ τὰ κατ' οἴκους πολυτελῆ, καὶ τροφὴ, καὶ πόσις, καὶ ἔνδυμα. ἡ δ' ὡς εἰς παστάδα κατακεκλιμένη βασιλικὴν, ὑπολαβοῦσα φησίν· ἔχεις με τὴν σὴν Υσμίνην, καὶ μετακόμιζε· σὺν σοὶ θανοῦμαι. καὶ τῆς κλίνης ἀναστᾶσα συνείπετο· καὶ μᾶλλον ἐφείλκετό με προτρέπουσα. ἐγὼ δὲ, ἀλλὰ οὐκέτι, φημὶ, διακεκόσμηται τὰ τοῦ πράγματος. ἡ δ' ἀλλ' οὐκ ἤθελεν ἀποσπασθῆναί μου τῶν χειρῶν. μόλις οὖν ὅλους θεοὺς αὐτοὺς διαμαρτυράμενος, τὴν τῆς Υσμίνης ἀπεσπάσθην χειρῶν· καὶ παρὰ τὴν ἐμὴν ἐρχομένην κλίνην, τὸ πρᾶγμα διασκοπῶν. ἐπεὶ δ' ὑπενόουν οὐ συνεχωρούμενον τοῖς πράγμασιν, ἀναστὰς τῆς κλίνης καὶ λαμπρῶς διακοσμησάμενος, εἰς ἱερὸν

ἀφικόμενοι Ξενίου Διός· ὅπου καὶ Θεμιστεύς μοι πατὴρ καὶ μήτηρ Διάντεια καὶ Σωσθένης καὶ Πανθία προσανεῖχον τοῖς θύμασι. μετὰ γοῦν πολλὰ τῶν θυμάτων, ἃ καὶ πατὴρ ἐμὸς καὶ Σωσθένης ἐσπείσαντο· Σωσθένης καὶ Πανθία ὅλας εἰς οὐρανὸν τὰς χεῖρας ἀράμενοι, καὶ θερμὰ τῶν ὀφθαλμῶν καταστάξαντες δάκρυα· Ζεῦ πάτερ, ἔλεγον, ἐπιθαλάμιόν σοι τοῦτο τὸ θῦμα ὑπὲρ ἡμετέρας Ὑσμίνης παιδὸς, ἧς ἤδη τοὺς γάμους τελέσαι βουλόμεθα. ταῦτ᾽ ἔλεγον, καὶ θύματα τῇ πυρᾷ κατετίθεντο. μέγας δ᾽ ἀετὸς ἐκ νεφῶν ἀνακλάγξας καὶ μετὰ ῥοίζου καταχυθεὶς, ἥρπασέ τε τὸ θῦμα, καὶ τοὺς περὶ τὸν βωμὸν συνετάραξεν. ὁ μὲν οὖν δὴ Σωσθένης ὅλος ἦν ἐκπεπληγμένος ἑστώς. ἡ δέ γε Πανθία κατὰ γῆν πεσοῦσα καὶ τὰς πολιὰς ἀμφοτέραις τίλλουσα καὶ ψιλοῦσα τὴν κεφαλὴν, Ζεῦ πάτερ, φεῖσαι πολιᾶς ταύτης ἐμῆς, ἔλεγε· φεῖσαι νεότητος θυγατρός. αὕτη μοι παραμύθιον· αὕτη μοι παραψυχή· αὕτη μοι

Iouis hoſpitalis iui, vbi Soſthenes ac Panthia rem faciebant. Iam litatum, cùm vterque porrectis in preces manibus, vbere cum fletu in verba hæc erupit: Iupiter pater, hoc tibi pro Iſmene nuptiale ſacrificium eſto. Dúmque porricerent, 300

Confeſtim horrifico celeríque per aëra lapſu
Armiger & magnis quatiens clangoribus alas
Extáque diripuit, turbatáque ſacra reliquit.

At Soſtheni

---ſubita gelidus formidine ſanguis
Diriguit. Panthia verò humi proſtrata, ambabus cineroſam canitiem trahens, laceránſque clamabat; Iupiter pater, miſerere ætatis meæ, & iuuentutis filiæ. Hoc vnicum ſolatium,

generis spes, gaudiúmque est; in quo omnium senectutis malorum obliuiscor. A mea igitur Ismene infelicissimum omen, Iupiter indigena, procul auerte. Nec te meos mihi eruere oculos decet, nec lumen meum exstinguere, nec vniuersæ familiæ exitio frui. O infelicem matrem propter sacrificia & dirum omen! Ego Aulicomidem, patriam meam, aureæ sobolis nutrimento beata reliqui; nunc verò ob eam ipsam sobolem misera sum. Ecce quam nuptiali mundo ornare parabam, nunc viuentem vti fato functam lugeo. Occidisti, lumen oculorum meorum; egóque lætos hymenæi tui cantus lugubri finiam vlulatu. Non tibi nuptiæ struuntur, sed Manibus tuis inferiæ dantur. Ita quod veriuerbio iactatur, carbones thesauri loco inueni. Hæc dicens Panthia luctu gemitúque locum impleuit; continuóque genas radens, ac laciniam

τῦ γάμου ἐλπίς. ταύτῃ γέγηθα, καὶ τῶν τοῦ γήρως κακῶν ἐπιλήθομαι. ἀπ' ἐμῆς οὖν, ἀπ' ἐμῆς ταύτης παιδὸς τὸν ἀπαίσιον τοῦτον ὄρνιν πέμψον. πάτερ Ζεῦ, μή μου τοὺς ὀφθαλμοὺς ἐκκόψῃς· μή μου τὸν λύχνον σβέσῃς· μή μου πρόῤῥιζον τὴν στάχυν ἐκτίλλῃς· μή μου τοῦ γένους παντὸς ἀποκείρῃς τὸν βόστρυχον. ὦ δειλαία μήτηρ ἐγὼ, δειλαία τῶν θυμάτων, δειλαία τῶν οἰωνῶν. καλλίπαις ἧκον ἐξ Αὐλικώμιδος πατρίδος ἐμῆς· καὶ νῦν ἀθλιόπαις ἐν Εὐρυκώμιδι. ὡς παρθένον τὴν ἐμὴν ἐνυμφοστόλουν Ὑσμίνην· καὶ νῦν ὡς νεκρὰν ἀποδύρομαι, καὶ ζῶσαν θρηνῶ. Ὑσμίνη μοι, φῶς ἀπεῤῥύης τῶν ὀφθαλμῶν. οὐκ ἐπιθαλάμιον, ἀλλ' ἐπιθανάτιον ᾄδω σοι· οὐκ ἐπιγαμηλίοις, ἀλλ' ἐπιτυμβίοις σπένδομαί σοι χοαῖς· καὶ κατὰ τὴν παροιμίαν, ἄνθρακας εὑρίσκω τοὺς θησαυρούς. ταῦτ' ἔλεγε Πανθία, καὶ τὸν βωμὸν ἐπλήρου θρήνων καὶ κωκυτῶν, τὴν παρειὰν αὐλακίζουσα, διαῤῥήσσουσα

τὴν ἐσθῆτα, λίθῳ πλήξασα τὸ στέρνον, καὶ τὴν κεφαλὴν καταρράξασα. τὸ μὲν οὖν δὴ πολὺ πλῆθος (οὐδὲ γὰρ ἀπὸ δρυός, οὐδ' ἀπὸ πέτρας) τοῖς τῆς Πανθίας κατεθρύπτετο καὶ θρήνοις καὶ στεναγμοῖς. καὶ ἦν ἐξ ἀνδρῶν καὶ γυναικῶν σύμμικτος ἡ βοή. αἱ μὲν γὰρ δὴ γυναῖκες τὴν Πανθίαν συνεθρήνουν καὶ συνεκόπτοντο. οἱ δ' ἄνδρες ἐξεπλήττοντό τε καὶ κατεπλήττοντο. καὶ οἱ μὲν ἀπαίσιον κατεφιλοσόφουν τὸν οἰωνόν, οἱ δ' αἰσιώτατον. ἦσαν δὲ παρ' οἷς καὶ τὸ πρᾶγμα τυχηρὸν ἐνομίζετο. οὕτω μὲν οὖν τὸ πλῆθος ὡς καὶ τὴν γλῶτταν καὶ τὴν γνώμην εἶχεν σύμμικτον καὶ διάφορον. μήτηρ δέ μοι Διάντεια σὺν πατρὶ Θεμιστεῖ τὴν Πανθίαν περιχυθέντες περὶ τὴν ἡμετέραν μεθέλκον οἰκίαν, καὶ ταῦτα μὴ θέλουσαν. ἐγὼ δὲ καὶ Κρατισθένης (παρῆν γὰρ καὶ αὐτὸς) τὸν Σωσθένην μεθείλκομεν, καὶ περὶ τὴν οἰκίαν γεγόναμεν, καὶ περὶ τὴν πυλῶνα τὴν Ὑσμίνην δακρύουσαν εὕρομεν. προσδραμοῦσα γάρ τις παιδίσκη, ταύτῃ τὸ πᾶν

scindens, & infesto lapide pectus verberans, solo caput applausit. Hoc Panthiæ luctu victa populi multitudo (nec enim ex quercu aut lapide fuit) confusum clamorem sustulit; mulieres cum Panthia lugere, homines attonitos perculsósque stare; modò dirum omen, modò felix faustúmque arbitrari: nec deerant quibus & tota res fortuitò accidisse videbatur. Ita tantæ multitudinis vt varij sermones, sic diuersa sententia fuit. Themisteus & Diantea Panthiam amplexi domum inuitam reluctantémque deduxerunt: ego verò Sosthenem Cratisthenis qui aderat operâ. Verùm ædibus proximantes, Ismenem ante ianuam lacrimantẽ offendimus: præcurrens enim ancilla rem totã, vt accidit,

edocuerat. Exinde luctu redintegrato prolixum mater eiulans, tamquam si ad plures isset Ismene, luctum excitauit. Puella verò parentis se luctu crucians illum imitabatur. Itaque Themisteus planctu, vt poterat, sedato illos cubiculo reddidit. Ego quoque meum festinus cum Callisthene irrupi. Ibi demum singula quæ post Aulicomidem relictam mihi euenerant recensuimus: Vt in conuiuio aduersa Ismene collocata fuit; vt acceptum poculum extremis labellis contingens Callistheni reddidi, Ismenem primam bibere debuisse dictitans; vt idem Callisthenes, (hic enim patris iussu vinum præbebat,) ad puellam detulerit; vt illa ambabus excipiens gestu nutúque gratiam habuerit; vt secundam potionem sibi à Callisthene postea traditam tantillùm minuens reddiderit; quam ego, sitibundum me

ἀνεδίδαξε. καὶ πάλιν θρῆνος ἦρτο καὶ κωκυτός. ἡ μὲν γὰρ δὴ μήτηρ ὡς ἐπὶ θυγατρὶ θανούσῃ τὸν θρῆνον ἐξήγειρεν· ἡ δέ γε θυγάτηρ ἐπὶ μητρὶ θρηνούσῃ πικρὸν ἀντωδύρετο. καί μοι πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια περὶ τὸ δωμάτιον τὰς γυναῖκας εἰσάγουσι, τὸν κοπετὸν κατευνάζοντες. ἐγὼ καὶ Κρατισθένης περὶ τοὐμὸν γεγονότες δωμάτιον, τὰ μετὰ τὴν Αὐλικώμην ἐκοινούμεθα, ὡς ἐπὶ τὸ δεῖπνον κατὰ μέτωπόν μου τὴν Ὑσμίνην ἡ τάξις ἐκάθισεν· ὡς ἔγωγε τὸ πόμα λαβὼν καὶ μόνον ἐγγίσας τοῖς χείλεσι, πρὸς τὸν δόντα ἀντιδέδωκα, τὴν Ὑσμίνην εἰπὼν ὀφείλειν μου προπιεῖν. καὶ ὁ Κρατισθένης (οὗτος γὰρ ἐξ ἐπιταγῆς τοῦ πατρὸς ᾠνοχόει) πρὸς τὴν Ὑσμίνην ἐκόμισεν, ὡς ὅλαις ἡ κόρη τοῦτο χερσὶν ὑποδέξαιτο· ὡς εὐχαριστήσοι τῷ σχήματι· ὡς ἐπὶ δευτέρῳ πόματι Κρατισθένης τὴν κόρην μου προσεκίρνα· ὡς αὕτη μικρὸν ἐκροφήσασα, πάλιν ἀντιδέδωκε. κἀγὼ τὸν διψῶντα μετασχηματι-

σάμβρος, τὴν τοῦ Κρατισθένους μεθειλκυσάμενην χειρῶν τὸ ποτήριον. καὶ τἄλλ' ὁπόσα συμπίνοντες ἐρωτικῶς κατεπαίζομεν· τὴν τῶν πατέρων καὶ μητέρων ἡμῶν πρὸς τὸν βωμὸν ἐπὶ θύμασιν ἀναχώρησιν, καὶ τὰ παρὰ τὴν κλίνην τῆς κόρης ἡμέτερα παίγνια· καὶ τὰς συνθήκας ὅσας ἐρωτικῶς συνεθέμεθα· τὴν ἐπὶ τῷ δευτέρῳ δείπνῳ τοῦ Σωσθένους γλῶτταν, ὡς θύσει τοὺς γάμους τῇ θυγατρί· ὡς τὸν ἐμὸν πατέρα κἀμὲ πρὸς αὐτοὺς γάμους ἐπὶ τὴν Αὐλίκωμιν συγκαλέσοιτο· τὴν ἡμετέραν ἐπὶ τῷ παραδόξῳ τοῦ ῥήματος ἔκπληξιν· καὶ τἄλλ' ὁπόσα περὶ τὴν τράπεζαν· τὴν ἐπὶ δευτέροις τούτοις θύμασι τοῦ Σωσθένους καὶ τῆς Πανθίας πρὸς τὸν βωμὸν ἐπαγρύπνησιν· τὴν μόνωσιν τῆς παρθένου· τὰ περὶ τὴν κλίνην ταύτης ἡμέτερα δάκρυα· καὶ τέλος τὰς συνθήκας ἃς συνεθέμεθα θεοὺς αὐτοὺς διαμαρτυράμενοι. καὶ ὁ Κρατισθένης, αἰσιώτατόν σοι τὸν οἰωνὸν προμαντευόμενοι, τὴν δ' ἐπ' Αὐλίκωμιν τῆς

fingens, lepidè inuasi:

Quósque alios fingit Venus inter pocula nutus,

Quósque alios lusus ludere nouit Amor.

Nec omisimus parentum vt sacrificarent abscessum; liberiores in lecto iocos, & in quæ amoris pacta conuenimus: Vt secundo conuiuio Sosthenes de nuptijs filiæ nos monuit, ad eásque vocauit; quantum inopinato sermone perculsi exhorruimus: mox secundum sacrificium, peruigilium in templo, puellæ solitudinem, lachrymas nostras ad eius lectulum, & quæ numinibus inuocatis pacti sumus. Tum Cratisthenes; Faustũ hoc auguriũ tibi vaticinor, sed illi qui Aulicomide viuit

Ismenes sponso scæuum. Iupiter raptum indicat, imò iubet. Quid moras nectis? quid times? Mi Cratisthenes, respondi, in aduersis, si Tragico credimus, probantur amici: itaque tibi negotij totius cura incumbit. Curabo, subiecit ille, operámque polliceor. Statímque vale dicto ad eius apparatum festinauit. Ego me cubiculo immisi, in quo omnes reputabant ea quæ inter sacrificandum acciderant. Ismene demum tali matrem alloquio solata est: Sufficiunt ea quæ à Themisteo & Diantea dicta sunt, non solùm verisimilia, sed vera, ad sedandos anxiæ mentis tuæ multiplices fluctus. Quid rursus per has curas animum versas? quid intempestiuo te luctu crucias? Iupiter hoc matrimonium nõ probat, illud obire me renuit:

Ὑσμίνης νυμφίῳ καὶ λίαν ἀπαισιώτατον. εἰ γὰρ καὶ Ζεὺς αὐτὸς τὴν ἁρπαγὴν ἐπαινίττεται, καὶ δεῖ ταύτην κατεπισκήπτειν σοι, τί μέλλεις; τί δ' ἀναδύῃ; ἐγὼ δὲ πρὸς αὐτὸν, ἐν συμφοραῖς, κατὰ τὴν τραγῳδίαν, φίλοι σαφέστατοι· καί μοι διασκόπησον τὰ τοῦ πράγματος. καὶ ὁ Κρατισθένης· ἐγώ σοι καθυπηρετήσω τῷ δράματι. καὶ, χαίροις, εἰπών μοι, περὶ διασκευὴν τοῦ πράγματος ᾤχετο. κἀγὼ περὶ τὸ δωμάτιον γέγονα· ἔνθα μοι πατὴρ καὶ μήτηρ σὺν Σωσθένει, καὶ Πανθίᾳ, καὶ τῇ κόρῃ τὰ περὶ τὸν βωμὸν καὶ τὸ θῦμα διελογίζοντο. καὶ τῆς παρθένου πρὸς τὴν μητέρα λεγούσης ἀκήκοα· ἱκέτευσά σοι, μῆτερ, κατευνάσαι τῆς ψυχῆς τὸ κλυδώνιον, τὰ περὶ Θεμιστέως καὶ Διαντείας εἰρημένα σοι, μὴ πιθανότητος ἀλλ' ἀληθείας ἐχόμενα. σὺ δ' ἵνα τί καὶ πάλιν οὕτως ὅλη γίνῃ τοῦ πράγματος, καὶ ὅλην ἑαυτὴν καταθρύπτεις τοῖς ὀδυρμοῖς; Ζεὺς ἀναδύεται τὸν γάμον· οὐ βούλεται συμφαγωγηθῆναί

με. τοῦτο φὴς τὸν ἀετὸν ὑπαινίττεσθαι, τὸ τοῦ Διὸς προμηθείας, τῆς τούτου φιλανθρωπίας. σὺ δ᾽ οὐ δὴ βούλει νυμφευθῆναί με, καί μοι τελεσθῆναι τὸν γάμον ἀπαίσιον. τί, μῆτερ, θρηνεῖς ἐφ᾽ οὕτω καλῷ τῷ Διὸς οἰωνῷ; καί μοι πατὴρ Θεμιστεὺς τὴν παρθένον ἐπήνεσε λέγων· εὖ γε σοι τῆς συνέσεως, κόρη, καὶ τῆς γλώττης ὑπερεῦγε. καὶ πρὸς τὸν Σωσθένην φησίν· εἰ δοκεῖ, γενώμεθα καὶ περὶ τὴν τράπεζαν. Διασίων καιρός. σεβασθῶμεν τὴν ἑορτήν, ἵν᾽ ἦ καὶ Ζεὺς ἡμῖν εὐμενέστερος. μετάσχωμεν τροφῆς· συμμετάσχωμεν ὕπνου. ἤδη καὶ νύξ. ἐγγὺς ὁ τῶν θυμάτων καιρός, ἐπὶ τὸν βωμὸν ἡμᾶς συγκαλούμενος. ἡ δὲ Πανθία φησίν· οὐκέτι περὶ τὸν βωμὸν γενώμεθα. οὐ θῦμα θύσω λαμπρὸν ὑψιπετοῦς ἀετοῦ. ἅλις μοι τῶν θυμάτων· ἅλις μοι τῶν θρήνων. κόρος μοι τῆς ἀπευκταίας ταύτης οἰωνοσκοπίας. κἂν ὁ θηριώδης ἐκεῖνος ἀετὸς καὶ ἀπαίσιος ἐκορέσθη τοῖς θύμασιν· ἔστιν ἀετὸς ἐκεῖνος ὃς Προμηθέως ὀρύττει

hoc enim Aquilam diuinæ prouidentiæ, ſuíque erga homines amoris indicium ſignificare dicis. Si cum Ioue ſentis, ſi illud pariter auerſaris, ſi infelicium nuptiarum ſolennia perfici recuſas; quid in tam pulchro Iouis augurio luges? Laudauit puellæ verba Themiſteus & prudentiam: Macta eſto prudentia, ô Iſmene; quin etiam ſi Soſtheni videtur, ad illum conuerſus, cœnam perplacet accumbere, atque hoc Diaſiorum tempore omni cultu feſtum proſequi; vt propitium magis numen faueat. Cibus ergo ſumendus; nam ingruit nox, & ſacrificiorum hora; mox cubitũ faceſſemus. Ad hæc Panthia; Nequaquam, inquit, ſupplicatum ibo; Non ſublimè aduolanti aquilæ ſacrificium præbebo. Satis mihi ſacrificiorum, ſatis luctuum: iam ſcæuæ iſtius aruſpicinæ ſatias eſt. An feroci diræque illi volucri non ſufficit? Certò ipſiſſima eſt quę Promethei

latus aduncis lacerans vnguibus,
Iecur opimum paſtu dilaniat fero.
Nam & ventris mei intima effodit,
Et noſtra morſu viſcera depaſta eſt diro.
Bona verba, reſpondit Soſthenes, &
ore mala ac leuia dicta ſegrega; ne ſuc-
cenſeat Iupiter. Pareamus modò The-
miſteo, excepit Panthia.
Tu mitis eſto, néve pertinaciam,
Irámque mentis obÿce aſperam mihi:
nam totis viſceribus ardeo. Poſt mul-
ta vltrò citróque dicta, extemplò
menſa eo in cubiculo poſita eſt. Certè
fercula vinúmque ac omnia ſine appa-
ratu minùs feſto conueniebant. Ac-
cubuit & nobiſcum formoſus Crati-
ſthenes ſuper ſplendidos lapides, qui-
bus decenter ſtratum cubiculi ſolum
erat. Tandem menſa prandiúmque,
(ſi quidem illa his nominibus vocare
licet) finem habuerunt. Tum rurſus
Themiſteus Panthiam ſic compellat;

πλευρὰν, ὃς ὅλον ἧπαρ κατέφαγε, καὶ τὴν ἐμὴν ὅλην ταύτην γαστέρα παντελῶς κατορώρυχε, καὶ τὰ σπλάγχνα κατεδηδόκει μου. καὶ ὁ Σωσθένης, μὴ τὴν γλῶτταν παραπέτασις οὕτω παραπέμπῃς καὶ ἀναιδῶς, μή σοι Ζεὺς χολωθῇ. πειθώμεθα τῷ Θεμιστεῖ. καὶ πρὸς τὸν Σωσθένην ἡ Πανθία φησί, σὺ μαλακίζου, τὴν δ' ἐμὴν αὐθάδειαν ὀργῆς τε θρασύτητος μὴ 'πίπλησθέ μοι. ὅλα γὰρ σπλάγχνα μου καταπίμπρασαμαι. μετὰ γοῦν δὴ πολλὰ τὰ ἐν μέσῳ, τράπεζα παρ' ἡμῖν αὐτοσχέδιος εἰς τὸ δωμάτιον. τὰ δὲ περὶ τροφὰς καὶ πότους ἀφιλότιμα καὶ λίαν ἀνέορτα. παρὰ δὴ μέσην δὴ ταύτῃ τῇ τραπέζῃ, πάλιν ὁ καλὸς ἧκε Κρατισθένης· καὶ σὺν ἡμῖν κατεκλίθη κατὰ τὴν γῆν κατὰ τοὺς λίθους οἷς μάλα τηλαυγέσιν ἐκεκόσμητο τὸ δωμάτιον. καὶ τέλος τὰ περὶ τὴν τράπεζαν καὶ τὸ δεῖπνον ἐλάμβανεν· εἴ γε δεῖ τράπεζαν καὶ δεῖπνον ἐκεῖνα καλεῖν. καὶ πάλιν ὁ ἐμὸς πατὴρ Θεμιστεὺς πρὸς τὴν παρθένον φησίν,

ὡς μήτηρ μέν σοι, καὶ μήτηρ φιλόπαις,
οὐχ ἧττον δὲ καὶ καλλίπαις. εἰρήσθω γὰρ
τἀληθές, οὐκ ἀρνήσομαι. ὡς δὲ καὶ γυ-
ναιξὶ δεινὸν, κατὰ τὴν παροιμίαν, αἱ δι' ὠδίνων
γυναῖ, ὅλαι μητέρες συμμαρτυρήσουσιν· ὅτι
δ' ἁπλοῦς ὁ λόγος τῆς ἀληθείας ἔφυ,
οἴδασι πάντες καὶ σύ. ἐπεὶ γοῦν σοι θυ-
γατρὶ νυμφαγωγουμένῃ πάντα τὰ θύ-
ματα τέθυται, ἃ πάντως Διὸς ἀετὸς
ἀνηρείψατο. εἰ μὲν οὖν ἀπαίσιος ὁ ἀετὸς
καὶ τὸ σημεῖον οὐκ ἀγαθὸν, οὐκ ἀκριβὴς
οἰωνοσκόπος ἐγώ. εἰ δ' ἀπαισιώτατόν σοι
τὸ πρᾶγμα δοκεῖ, καὶ ὄντως ἐστὶν ἀπαι-
σιώτατον, τοῦτο μᾶλλον ἡμῖν αἰσιώτατον.
εἰ μὲν γὰρ μετὰ νυμφῶνα τὸ θῦμα, καὶ Ζεὺς
ἀνανεύει τοὺς γάμους, καὶ τῷ ἀετῷ τὴν
ἀνάνευσιν ἐπαινίττεται, οὐκ ἄκαιρόν σοι
τὸ δάκρυον. τῷ γάρ τοι Ἐπιμηθεῖ, τὸ
μεταμέλειν ἀνωφελῶς ἀφωσίωται. εἰ δέ
σοι πρὸ τοῦ γάμου τὸ θῦμα, καὶ ζητεῖς
τὸ μέλλον μαθεῖν, καὶ Ζεὺς οὐκ ἐπιτρέπει
τοὺς γάμους, καὶ λίαν εὐμενής σοι τῆς

Tu te matrem oſtendiſti filiæ amantiſ-ſimam, & verò formoſiſſimæ, ſi verita-tem, quam negare piaculum ſit, fateri placet. Præterea ſi prouerbio fidem habemus, omnes omnium matres te-ſtantur, quàm vniuerſis feminis diffi-cile ſit pignora partu edere, ideóque nimium quantum amant. Tamen o-ratio veritatis ſimplex eſt, vt tecum omnes norunt: attende modò. Tu propter filiæ nuptias rem ſacram feci-ſti; quam Iouis ſatelles diripuit. Si infauſti quidpiam portendit, ego me peſſimum augurem fateor. Etenim ſi peſſimum augurium dedit, vt revera dedit, tamen quantum ad te pertinet, optimum eſt. Certè ſi poſt obitum ma-trimonium, quod Iupiter minùs pro-bare videtur, diuûm pacem ſacrificio expoſtulaſti; omnino non fruſtra la-chrymis indulges; (nam Epimetheus inutiliter pœnitet.) Quòd ſi rerum e-uentus caſúſque futuros reſcire aues, ideóque ante connubium quod nu-men auerſatur, ſacrificaſti, filiæ tuæ proſperè vortit, tibíque propitius

Iupiter fauet. Quid ergo tam felicis augurij sorte beata luctum & eiulatum excitas? Imò gratias agere oportuit, Deóque palam sacrificium liberationis filiæ tuæ debes. Certè eadem ratione eum qui te ab tempestate aut igne eripuisset, adeò iniustum voces, quòd vitam tibi largiatur. Vix istis sermonibus fidem habens, luctuúmque desinens Panthia, lectulo se tradere, rursúsque in templo peruigilium agere consensit. Ita discessum est. Cratisthenes cubiculo mecum redditus, Rumpe moras, inquit: Omnia Iupiter tibi rectè industria mea disposuit: nauis quæ mox in Syriam soluet, parata est. Ego quoque patrium hospitem Syrum habeo qui nos hospitio splendidè accipiet. Mi Cratisthenes, subieci ego, si amicitiam non fingis,

προμηθείας θεὸς, καὶ περὶ τὸ θυγάτριον εὐτυχεῖς. τί γοῦν ἐφ' οὕτω καλῷ Διὸς αἰωνῷ θρῆνον ἐγείρεις καὶ κωκυτὸν, εὐχαριστήριόν τι μᾶλλον θῦμα περιφανὲς ὀφείλουσα σωτῆρι Διῒ, καὶ σῶστρα ταύτης τῆς σῆς θυγατρὸς; εἰ δ' οὖν καὶ τῷ ῥυσαμένῳ σοι καὶ κλύδωνος καὶ πυρὸς, ἀδικίαν ἐπεγκαλέσεις, ὅτι σοι τὸ ζῆν ἐχαρίσατο. μόλις οὖν τοῖς τοῦ πατρὸς τούτοις λόγοις πεισθεῖσα Πανθία, καὶ μικρὸν ἀνενεγκοῦσα τῆς οἰμωγῆς, ἀνακεκλίσθαι συνέθετο καὶ πάλιν ἐπαγρυπνῆσαι τοῖς θύμασι. καὶ οὕτως ἀπ' ἀλλήλων ᾠχόμεθα. ὁ γοῦν Κρατισθένης σὺν ἐμοὶ γενόμενος παρὰ τὸ δωμάτιον, πρός με φησίν· οὐκέτι σοι καιρὸς διαβολῆς· πάντα γάρ σοι Ζεὺς σὺν ἡμῖν εὖ διέθετο. καὶ ναῦς ἡτοίμασται παρὰ Συρίαν ἀπαίρουσα. καί μοι ξένος πατρῷος Σύριος, ὃς ἡμᾶς ξεναγωγήσει καὶ φιλοτίμως καθυποδέξεται. καὶ πρὸς τὸν Κρατισθένην ἐγὼ εἶπον· οὐ κατέψευσας τὴν φιλίαν, καὶ τὸν συμ-

Ὑσμινίαν φίλους, καὶ ἄλλον κρίνεις σαυτὸν, συνεκπλεύσῃς ἡμῖν. ὁ δέ μοι φησίν· ἐμοὶ δ' οὔποτε γέγονε κατὰ νοῦν, μὴ συνεκπλεῦσαι, μὴ συμπονῆσαί σοι, μὴ συμπαθεῖν καὶ ὑπερπαθεῖν. χάρις δ' ἔστω μοι, τὸ μηκέτι πρὸς ἀναβολὰς χωρεῖν μοι τοῦ πράγματος. ἐγὼ δὲ πρὸς αὐτόν· σὺ μὲν εἰ βούλει, γενοῦ μοι περὶ τὴν θάλατταν, καὶ τὰ περὶ τὴν ναῦν διακόσμησον. ἐγὼ δ' ἡνίκα θυμάτων καιρὸς, καὶ Σωσθένης καὶ Πανθία περὶ τὰ θύματα σὺν τοκεῦσιν ἐμοῖς, περὶ τὴν κόρην γενόμενος τὸ πᾶν ἐκκαλύψω τοῦ δράματος. σὸν δ' ἔργον ἔσται διασκοπεῖν τὸν καιρὸν, καὶ ἡμᾶς περὶ τὸν λιμένα καὶ τὴν ναῦν συγκαλέσασθαι. ὁ μὲν οὖν δὴ Κρατισθένης ἐξῆλθε τοῦ δωματίου. ἐγὼ δ' ὅλος ἐπὶ τὴν κλίνην ἀνακλιθεὶς, ὅλας εἶχον λογισμῶν θαλάσσας ἐπικλυζούσας μου τὴν ψυχήν. καὶ ὡς ναῦς ἐν σάλῳ κατεκυματουμένην, καὶ κλύδωνι, ἠνιώμην, ἔχαιρον, ἐδεδίων, ἐθάῤῥουν, ὅλος ἤμην

ſi Iſmeniam tuum ex animo amas, ſi alium te ipſum exiſtimas, nobiſcum nauigabis. Reſpondit ille; numquam aliter ſibi viſum, ſe eoſdem labores exantlare, eadémque omnia pati paratum; gratiámque mihi habere, quòd illi in mora non eſſem. Accede igitur ad mare, ſi lubet, omniúmque curam habe. Ego vniuerſis in ſacrificando occupatis virginem conueniam, totiúſque rei ſcenam illuminabo. Memineris modò temporis momenta arbitrari, nóſque opportunè ad portum ac nauem vocare. His dictis lectulo me commiſi, multiplici curarum ſalo anxius: vt enim tempeſtate nauis agitatur, ſic diuerſæ mentis varijs iactabar diſcurſibus; modò triſtitia, gaudio, metu, cõfidentia inquies, & modò


voluptate ac timore plenus. Nam vti voti compos fieri me oblectabat; ita si potiri non liceret, terrebat. Dum hoc curarum æstu stringebar, tot cogitationum molibus sollicitus marcentes oculos in quietem flexi: Nec mora cùm innumera adolescentum virginúmque multitudo cubiculum meum fartim stipauerant, omnes mútuo manuum vinculo connexi, carmen in Veneris Cupidinísque laudem iterabant, hymenæi ad instar;

Quale canit Siculis proles Acheloïa ripis,
Aut quale ad thalamos festi modulantur
Amores.


Ego amore perditus, imò totus amor, stabam, dum animum meum voluptate, leporéque plenum suo carmine alliciebant. Huius in medio turbæ

ἡδονῆς καὶ φόβου μεστός. τὸ γὰρ ἐπιτυχεῖν σφόδρα μου κατέσαινε τὴν ψυχήν· τὸ δ᾽ ἀποτυχεῖν καὶ λίαν κατέσαινεν. ἐν μέσοις δὴ τούτοις τοῖς κύμασιν, ἐν ὅλαις θαλάσσαις καὶ κλύδωνι, ὕπνος μου τοῖς ὀφθαλμοῖς παρακέχυται. καὶ πλῆθος οὐκ εὐαριθμούμενον ὁρῶ παρὰ τὸ δῶμά που, νεανίσκων καὶ παρθένων ἐστεφανωμένων ῥόδοις τὰς κεφαλὰς, τὰς χεῖρας συνδουμένων ἀλλήλοις κατὰ σειρὰν, καὶ μέλος ᾀδόντων οἷον Σειρῆνες ᾄδουσι. καὶ ἦν τὸ μέλος Ἔρωτος ὕμνος καὶ Ἀφροδίτης ἐγκώμια. τὸ δ᾽ ᾆσμα καθ᾽ ὑμέναιον ᾔδετο ὁποῖον ἐπὶ παστάσιν ᾄδουσιν Ἔρωτες. τὸ μὲν οὖν δὴ πλῆθος ᾖδε τὸ μέλος. καί μοι τὴν ψυχὴν ἡδονῆς ἐπλήρου καὶ χάριτος ἐρωτικῆς· καὶ ἤμην ὅλος ἔρως ὡς ἐκβεβακχευμένος ἐξ ἔρωτος. ἐν μέσῳ τούτῳ τῷ συμμίκτῳ χορῷ τῷ λαμπρῷ, τῷ χαρίεντι, ἐν μέσοις στεφάνοις, ἐν μέσαις ᾠδαῖς, ἐν μέσοις ἐρωτικοῖς μελῳδήμασιν, ὁρῶ καὶ πάλιν ἐκεῖνον τὸν ἐφ᾽ ὑψηλοῦ τοῦ

δίφρου καθήμενον Ἔρωτα, βασιλικῶς ἐσταλμένον, καὶ τὴν Ὑσμίνην τῆς χειρὸς μεθελκόμενον. ἐγὼ δ' ὅλος ἐξεθαμβήθην ἰδών. ὁ δέ μοι φησὶν, Ὑσμινία, ἰδοὺ τὴν Ὑσμίνην ἔχεις. καὶ τὴν χεῖρα ταύτης τῇ δεξιᾷ μου χειρὶ παραθεὶς, ἀπέπτη μου τῶν ὀφθαλμῶν, καὶ τοῖς ὕπνοις συμμεθελκόμενος.



ΒΙΒΛΙΟΝ ζ′.




ΥΤΩ μὲν οὖν μοι τὴν Ὑσμίνην Ἔρως παρέθετο· καὶ μεθ' ὕπνους ὅλην ἐδόκουν ἔχειν αὐτὴν, καὶ ὅλον ἑώρων τὸν Ἔρωτα. ἐπεὶ δὲ καὶ θυμάτων καιρὸς, καὶ πάλιν Σωσθένης καὶ Πανθία σὺν τῇ μητρί μου καὶ πατρὶ Θεμιστεῖ, τὴν παρὰ τὸ ἱερὸν ἐστέλλοντο· καὶ τὰ θύματα περὶ τὴν Ὑσμίνην. καὶ πάλιν ἐγὼ θύσειν ὅλον αὐτὸν, ἢ θῦμα τὴν Ὑσμίνην ὅλην λαβεῖν.

Amor excelſo inſidens currui, regióque habitu Iſmenem trahens, inter coronas & cantus ſe mihi videndum præbuit; mirantíque & oculorum acies in illum attentius conferenti, Iſmenia, inquit, Iſmenem habes: & cum dicto, illa in manum tradita,

In tenuem procul ex oculis euanuit auram.





LIBER SEPTIMVS.

MIHI in profundam quietem ſepulto Iſmenem ſic Amor tradidit; quam ſomno recuſſus etiam habere, ipſúmque Amorem oculis arbitrari videbar. Vigebat interim ſacrorum hora: rurſúſque Soſthenes ac Panthia ad Apollinis, vt operarentur, profecti ſunt: ego ad Iſmenem, aut totum me ſacrificaturus, aut illam victimam accepturus.

Statimque complexus edens amabiles,

Columbatímque labra conferens labris,
in verba fidentior hæc erupi: Amor te apud me deposuit, & Iupiter ipse raptum omine firmauit. Tibi verò, respondit illa, neque Dialis augurij, neque depositi amatorij vlla cura est. Vidisti sacrificium, & aquilæ prodigium; tu numen coram inspicere exoptas, & notas audire ac reddere voces. Prorsus ego, excepi, somno implicitus Amorem inspexi, qui te manu cùm teneret, in meam conuenire iussit. Prona in eam Ismene statim suauium impressit, quod regessi; diúque amplexibus Veneri litantes stetimus, vsque virgo his excitauit dictis: Mellita & Venere plena sunt quæ pangis basia, ô Ismenia: sed iam sacrorum finis erit, méque Aulicomidem redituram certum est. Tu Charitum illicium, merũ mel Cupidinum,

καὶ πάλιν φιλῶ συμπλεκόμενος· καὶ πάλιν ἀντιφιλοῦμαι καταπλεκόμενος, καὶ πρὸς τὴν κόρην φημί· Ἔρως τῇ χειρί μου ταύτην σε παρατίθησι. καὶ Ζεὺς τὴν ἁρπαγὴν ὑπαινίττεται. ἡ δέ μοι φησί· σὺ δ᾽ ὅτι Διὸς αἰνίγμασι πείθῃ· καὶ τὴν ἐξ Ἔρωτος παρακαταθήκην οὐκ ἐθέλεις τηρεῖν. εἶδες τὸ θῦμα, τὸν ἀετόν. σὺ δὲ τὸν Δία βούλει κατὰ μέτωπον στῆναί σοι, καὶ κατὰ στόμα λαλῆσαί σοι. καὶ πρὸς τὴν παρθένον ἐγώ· νῦν ἐν ὀνείροις εἶδον τὸν Ἔρωτα τῇ χειρί σε κατέχοντα, καὶ πρὸς τὴν ἐμὴν ταύτην παρατιθέμενον δεξιάν. ἡ δέ μου τὴν δεξιὰν κατεφίλησεν· ἐγὼ δὲ καὶ τὴν ἑτέραν αὐτῆς. καὶ ἦμεν πάλιν καταφιλοῦντες ἐρωτικῶς. ἡ δέ μοι κόρη φησί· καλὰ μὲν, Ὑσμινία, καὶ τὰ φιλήματα, καὶ λίαν καλὰ καὶ γέμοντα χάριτος. ἀλλ᾽ ἤδη πέρας ἔχει τὰ θύματα, καὶ πάλιν Ὑσμίνη πρὸς Αὐλικώμιδα. πρὸς δὲ ταύτην τὴν Εὐρύκωμιν, ὁ καλὸς Ὑσμινίας μοι, σὺ ὁ τῶν χαρίτων λειμὼν, τὸ τῶν ἐρώτων σύμβολον, ὁ τῆς ἐμῆς

Ὑσμίνης δεσπότης. ἀλλ᾽ ὦ φῶς ἐμῶν ὀφθαλμῶν, ὦ καρδίας παραψυχὴ καὶ ψυχῆς παραμύθιον· μή σοι λήθης πόμα κεράσῃ, μὴ χρόνος, μὴ πραγμάτων μεταβολή· μὴ τοῦτο δὴ τὸ καὶ θανάτου πικρότερον, παρθένος ἐξ Εὐρυκώμιδος. καὶ πάλιν ἐφίλει, καὶ πάλιν ἐδάκρυεν. ἐγὼ δ᾽ ὅλην περιπλακεὶς τὴν κόρην καὶ ὅλην καταφιλήσας ἐρωτικῶς, τὸν Κρατισθένην, εἶπον, οὐκ ἀγνοεῖς τὸν συνεκπλεύσαντά μοι παρὰ πατρίδα τὴν σὴν τὴν Αὐλίκωμιν· ἔστι μοι συμπατριώτης, ἀδελφιδοῦς ἐμὸς, ἄγγελος αὐτός. ἡ δέ μοι φησί· καὶ καθυπηρέτησα τούτῳ, καὶ τῇ χειρὶ ταύτῃ κεκέρακα. οὕτως δ᾽ ἐγὼ πρὸς αὐτήν· καὶ ναῦν ἡτοίμασε, καὶ τὰ περὶ τὴν ἡμετέραν φυγὴν διεκόσμησε, καὶ συνεκπλεύσει τούτοις ἡμῖν, καὶ ὅλῳ καθυπηρετήσει τῷ δράματι. καὶ ἡ κόρη τὸ στόμα μου κατεφίλησε λέγουσα· καταφιλῶ σου τὸ στόμα καὶ τὴν γλῶτταν. ἀσπάζομαι τὴν καλὴν ταύτην ἀγγελίαν ἀγγέλλοντα.

columbulus & Adoneus Ismenes tuæ, hîc manebis:

Tu quem plus oculis meis amaui,
In quo delitias libidinésque
Fecit pectoris ardor inquieti.

At tibi curæ esse oportet ne temporis lapsus, rerúmque versabiles motus, aut quod ipsa morte peius esset, virgo, immemorem te mei reddant.

Dixerat, atque genas lachrymis perfusa
madentes,

in me prona basium impressit. Ego complexus statim edens, petulantibus suauijs vbique festinanter ingestis interrogaui, an Cratisthenem nouisset eadem oriundum patria, nepotem meum, & qui mihi quasi alius Ismenias mecum Aulicomidem nauigarat. Illa probè nosse, suáque manu vinum præbuisse respondit. Is, inquam, est qui de re nostra sollicitus & paratam nauem simul conscensurus omnia fugæ necessaria adornauit. Suauiata est loquentis os virgo; Osculor istud os, subijciens, & linguam quæ tam lepido me nuntio beauit.

Ad hæc ego; Frustra basium hoc libasti, Ismene: pridem est cùm Iupiter Amórque te in meam conuenire manum voluerunt. Quid igitur maturam suóque liuore pubescentem vuam decerpere, quid spicam vbertate incuruescentem demetere obstat? Et cum dicto solidam auferre voluptatem totis viribus conabar; iámque inter amplexus & basia audacior manus, dum Amoris iussa subiret, plenum quidpiam tentabat, nisi exclamasset Ismene, persuasam se non iri, quamuis persuaderem. Itaque spei irritus abscessi, cùm pertenderet nolle matrimonio quod Iupiter annuerat, fraudi esse. Hanc pugnam liberiori nequitia, imò seriò ludebamus, cùm me nomine vocatum Cratisthenes ad ianuam ciebat. Ego illum adesse puellæ statim significaui: (etenim occupata circa illum mẽte aures meæ de eius voce pendebãt.) Itaq; inter gaudiũ pudorémq;

καὶ πάλιν πρὸς τὴν παρθένον ἐγώ, ἰδοὺ καὶ Ζεὺς καὶ μέγας Ερως αὐτὸς τῇ χειρί μου ταύτῃ σε παρατίθησι. τί γοῦν μὴ τὸν βότρυν τρυγῶ πεπανθέντα καὶ ὅλον ὑπερπερκάσαντα; τί μὴ τὸν στάχυν θερίζω κεκυφότα πρὸς γῆν; καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον, καὶ ὅλος ἤμην ἐπὶ τῷ ἐγχειρήματι. θλίβω φιλῶν, συμπλεκόμενος, θρασυτέραν ἔχων τὴν χεῖρα, καὶ τἄλλα πράττων ὅσα καθυπηρετοῦσι πρὸς ἔρωτα. ἡ δ' Ὑσμίνην οὐκ ἔπειθον· οὐ πείσεις, οὐδ' ἂν πείσῃς με, λέγουσα. οὐδὲ γὰρ κλέψω τὸν γάμον ὅν μοι Ζεὺς ἐχαρίσατο. ταῦθ' ἡμεῖς ἐρωτικῶς ἐμαχόμεθα, καὶ παίζοντες ἐσπουδάζομεν. καὶ ὁ Κρατισθένης παρὰ τὴν πύλην γενόμενος, Ὑσμινία, φησίν. ἐγὼ δὲ πρὸς τὴν κόρην, ὁ Κρατισθένης, φημί. τὴν γὰρ ἀκοὴν ὅλην εἶχον ἀπῃωρημένην τῆς τοῦ Κρατισθένους φωνῆς. καὶ ὀφθαλμοὶ μέν μοι καὶ χεῖρες πρὸς τὴν παρθένον· ὁ δέ γε νοῦς πρὸς αὐτόν. καὶ σὺν τῇ παρθένῳ

τῆς κλίνης ἀνέστημεν, ἐξ αἰδοῦς καὶ χαρᾶς· καὶ παρὰ τὴν πύλην γενόμενοι, χαίρεις, τῷ Κρατισθένει φαμέν. ὁ δὲ, οὐχ ἕδρας, φησὶ, καιρός. παρὰ τὸν λιμένα γενώμεθα· τῆς νεὼς ἐπιβῶμεν· ἀποβῶμεν τῆς Εὐρυκώμιδος. ταῦτ᾽ εἶπε, καὶ κατήρχετο τῆς ὁδοῦ· καὶ ἡμεῖς συνεφεπόμεθα. ὡς δὴ παρὰ τὸν λιμένα γενόμενοι, καὶ τὰς χεῖρας ὅλας πρὸς αὐτὸν ἀνατεινάμενοι τὸν λαμπρὸν οὐρανὸν, Ζεῦ πάτερ, λέγομεν, σοὶ ὡς τοῖς σοῖς αἰνίγμασι καθυπείκοντες ταύτην στελλόμεθα. σὸς παῖς ἡμᾶς Ερως πολιορκεῖ, καὶ πατρίδων ἡμῶν ἐφέλκεται λάφυρον. σὺ δ᾽ ὦ Πόσειδον, ἐκ μεταφρένου πνεῦσον, μὴ κατὰ μέτωπον. μὴ πρὸς πνεῦμα πολυβώδιον ἀντιπνεύσοις Διός· μὴ πρὸς Ερωτος ζέφυρον· οἷς ἡμεῖς εὐκραῶς παρὰ τὸν λιμένα γεγόναμεν. ταῦτ᾽ εἰπόντες καὶ τῆς νεὼς ἐπιβάντες, ἐξ οὐρίας ἐπλέομεν. ὁ γὰρ δὴ τὰ πρῶτα γλυκὺς Ποσειδῶν, ὅλος ἀπὸ πρύμνης ἐξέπνευσε. καὶ τὸ ἱστίον κατακυρτώσας,

lecto excuſſi illum ſaluere iuſſimus. Sedendi tempus minimè eſt, reſpondit Cratiſthenes: properemus ad portum, ſtatim conſcenſa naue Eurycomidem relicturi.

Hæc vbi dicta dedit, pauſam fecit ore loquendi.

Nos præeuntem ſequuti, feſtinanti veſtigio viam ad portum lucubrauimus.

Tunc ibi quiſque manus ad cæli cærula templa
Tendebat lachrimans, & blanda voce vocabat:

Iupiter pater, nos ominibus tuis victi hanc agitamus fugam. Ecce quos Veneris tuæ filius indigniſſimè patria protelatos tamquam ſpolium prædámque auertit. Te Neptune leni ventorum anima excipere nos decet, ne molles Iouis auras & Amorum Zephyros, quorum opera optatò potimur, repellere videaris. His dictis nauem conſcendimus, quæ proſperum primò curſum tenuit: etenim ſuaue ventorũ murmur à puppe flans velum impleuit,

nauémque velut alarum remigio subuehens cum voluptate nos ferebat. Mihi lecti stragulæque loco virginis genua erant, in quibus recumbentem

---somnus repentè
Mollissimus percutit acris.

Interea dum pro thalamo lectóque ac stragula nauis est, Ismene

Componens oculósque oculis atque oribus ora,
Oscula furtiuis dátque refértque notis.

Ita cùm allapsus amor mentem velut immutatam sibi subesse cogit, cætera omnia contemnere docet. Hæc de nocte gesta sunt: verùm vbi sol manauit, inhorrescens æstu aduersóque spiritu feruebat mare: iámque plurimus vndam fluctus agens nauem aquis obruere certabat cum vectoribus, onere, sacróque Amorum alueari, quod puro Cupidinum melle plenum

καὶ πτερώσας τὴν ναῦν, μεθ' ἡδονῆς ἡμᾶς μετεκόμιζεν. ἐγὼ δ' εἶχον κλίνην τὴν ναῦν, καὶ στρωμνὴν τῆς παρθένου τὰ γόνατα. καὶ ὅλος ἀνακλιθεὶς οὕτως ἡδέως ὕπνωττον, ὡς οὐδέ ποτε νὴ τὸν Ἔρωτα. ἡ δέ μοι παρθένος κατεπιθεῖσά μοι τὸ στόμα καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς χείλεσιν, ἀψοφητὶ κατεφίλει με. καὶ ἦν ἡ ναῦς παρ' ἡμῖν καὶ παστὰς καὶ κλίνη, καὶ στρωμνὴ καὶ δωμάτιον. οὕτως Ἔρως εἰς ψυχὴν ἐμπεσὼν καὶ ὅλην καταδουλώσας αὐτήν, τῶν μὲν ἄλλων πάντων πείθει καταφρονεῖν, ὅλην δὲ πρὸς ἑαυτὸν μεθαρμόζεται. οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός. ἐπεὶ δ' ὑπὲρ γῆν ὁ ἥλιος γέγονε, καὶ νὺξ οὐδαμοῦ, πνεῖ καὶ Ποσειδῶν κατὰ μέτωπον, καὶ ὅλον ἐκ περιφορῆς ἡμῖν καταλυπτεῖ, καὶ ὅλην τὴν ναῦν φιλονεικεῖ καταδῦσαι τοῖς κύμασι, καὶ ὅλην εἰς βυθὸν ἀγαγεῖν σὺν αὐτοῖς πλωτῆρσι, σὺν αὐτῷ φόρτῳ, σὺν αὐτοῖς σύμβολοις Ἔρωτος, ἃ μεστὰ μέλιτος ἐρωτικοῦ, τὴν καλὴν εἶχον Ὑσμίνην καὶ τὸν Ὑσμινίαν

ἐμέ· κἂν Ποσειδῶν αὐτὶ μέγιστος ἀψινθίου πληροῦν ἀπεμάχετο. ἀλλ' ὢ κλύδωνος ἐκείνου καὶ ναυαγίου διπλοῦ. ἡ μὲν ναῦς τῶν τῶν πνευμάτων ἀντιπνοίαις κατερριπίζετο, καὶ τοῖς κύμασιν ἐπεκλύζετο. καὶ ἡμεῖς πάντες καὶ περὶ τοῦ βυθοῦ τὴν ψυχὴν ἀπεφυσῶμεν τοῖς κύμασι, καὶ ἤδη ταύτην ἐπελίθεμεθα. ἡ δέ μοι παρθένος ὅλην ἑαυτὴν ἀπαιωρήσασα τῷ τραχήλῳ μου, ὀδυνηρότερον ἄλλο καὶ βιαιότερον ἐξήγειρέ μοι κλυδώνιον, ὅλας θαλάσσας δακρύων ἐκκενοῦσα τῶν ὀφθαλμῶν. καὶ ὅλον με κατακλυδωνίζουσα καὶ τῇ γλώσσῃ, καὶ τῇ περιπλοκῇ, καὶ τοῖς δάκρυσιν· Ὑσμινία, λέγουσα, σῶσον Ὑσμίνην τὴν σήν. πνεῦμα θρασὺ τῆς σῆς χειρὸς ἀφαρπάζει με· ἀπηνὲς πνεῦμα σήν με λαμπάδα ταύτην ἐρωτικὴν ἀποσβέννυσι. μέγα κῦμα θαλάσσης πῦρ ἐρωτικὸν ἐπικλύσαι φιλονεικεῖ. οὐ πατήρ, οὐ μήτηρ, οὐ πατρίς, οὐ τὰ κατ' οἶκον λαμπρά, σῆς με φιλίας ἐστέρησε. καὶ νῦν πνεῦμα καὶ κῦμα

(quamuis absinthio Neptunus implere satageret) nos strictim & ardenter amantes ferebat. Ita fœda tempestas duplicis naufragij periculum ostendebat. Nauem

Aspera terret hiems, omníque à parte feroces
Bella gerunt venti.

Nos, antequam gurgite mersos fato defungi oporteret, depositi anima vitáque sepulti iacebamus. Ismene præterea collo meo ambabus implexa alio violento magis molestóque æstu vexabat; etenim lachrimarum mare oculis fundens verba inter & amplexus suis me fletibus obruebat. Ismenia, clamabat, libera Ismenem tuam, quam sæuissimo audacissimi venti turbine raptam iri vides. Ille mutui amoris facem flammámque hac ingenti vndarum mole exstinguit; quæ patriam, parentes, fortunas contempsit, ne tua desolata viueret amicitia: illam modò pelagi furentis æstus

auferet. Amamus atque

Ex æquo captis ardemus mentibus ambo.

Iupiter ipse, dum res illi fieret, raptum annuit. Quid aquarum montes, Neptune, volvis? quid fratris augurio pugnas? quid amatoriæ seruitutis instrumentum deles? Patrem fugere potui; naufragium non potui. Matrem latêre facile fuit; Neptunum impossibile. O mater, verè certum harum lachrimarum augurium aquila præbuit. Infelici mihi sponsæ pro thalamo nauis, pro nuptijs vnda, pro solenni hymenæi acclamatione fluctuum sonitus est. O insolentem thalamum! ô amaras nuptias! prorsus fumum fugientes in ignem incidimus: à quo pessimè excepti demum fluctibus obruimur.

τῆς σῆς χειρὸς ἀφαρπάζει με. Ἔρως ἡμᾶς ἀλλήλοις ἐδουλογράφησε· καὶ Ζεὺς ἐν θύμασι τὴν ἁρπαγὴν ὑπηνίξατο. ὁ δέ γε θρασὺς καὶ ἄγριος Ποσειδῶν ὄρη κυμάτων ἐγείρει, καὶ πρὸς αἴνιγμα Διὸς ἀντιπνεῖ, καὶ ὅλον δουλογράφον ἐρωτικὸν ἐκπλύνει τοῖς κύμασιν. ἔφυγον τὸν πατέρα· τὸ δὲ ναυάγιον οὐκ ἐξέφυγον. ἔλαθον τὴν μητέρα· σὲ δὲ, Πόσειδον, οὐ διέλαθον. ἀλλ᾽ ὦ μῆτερ, νῦν προσφορώτατόν σοι τὸ δάκρυον. παρθένος τῶν σῶν ἀπεσυλήθην χειρῶν· καὶ παρθένος εἰς ᾅδου μετακομίζομαι. τοῦτό σοι καὶ ὁ ἀετὸς ὑπηνίττετο. ναῦς μοι παστὰς, καὶ κῦμα τάφος, καὶ πνεύματος ἦχος ὑμέναιος, καὶ ἡ νύμφη παρθένος ἐγώ. ἀλλ᾽ ὦ καινῆς ταύτης παστάδος· ὦ γάμου πικροῦ· ὦ ψυχῆς ἀθλίας ἡμῶν. καπνὸν φεύγοντες εἰς πῦρ ἐμπεπτώκαμεν· καὶ πυρὶ τυραννούμενοι, θαλάτταις κατακλυζόμεθα. ὦ τύχης ἡμῖν ἀπηνὲς πνευσάσης καὶ ἄγριον, καὶ θανατούσης ἡμᾶς καὶ πυρὶ καὶ τοῖς ὕδασι.

ταῦτ' ἔλεγεν ἡ κόρη. καὶ τοὺς μὲν ὀφθαλμοὺς πρὸς τὰ τῆς θαλάσσης εἶχεν ἐρείδοντας κύματα, τὴν δὲ γλῶσσαν πρὸς τὸν βιαιότερον ἦχον τοῦ πνεύματος· καὶ περὶ κλυδωνίου καὶ βυθοῦ θαλάσσης ὅλην μου κατεκλυδώνιζε τὴν ψυχήν. ἐγὼ δὲ πρὸς αὐτήν· Ὑσμίνη μοι παρθένε· ταύτην γάρ σοι τὴν κλῆσιν ἐχαρίσατο τὸ δαιμόνιον· εἰς κενὸν ἡμῖν καὶ φυγὴ καὶ τἆλλ' ὁπόσα μάτην ἐμελετήσαμεν. ἐμὲ δ' Ἔρως ὄντως κατέπαιξε· καὶ τοὺς ὀνείρους οὓς μοι κατέπλαττεν, ὄντως ὀνείρους ὁρῶ καὶ ὕπνους σαφεῖς· ὅλους γὰρ κρατῆρας πυρὸς, οὓς εἰς αὐτήν μοι μέσην καρδίαν ἐξέκαυσε, κῦμα θαλάσσης κατασβέσαι φιλονεικεῖ. ἀλλὰ κἂν ὅλας θαλάσσας ἐρεύξωμαι, οὐ κατασβέσω τὴν φλόγα, ἣν περὶ τὴν ἐμὴν ταύτην ψυχὴν Ἔρως ἐξ ὕλης Ὑσμίνης ταύτης ἀνέφλεξε· καὶ συμπλακήσομαί σοι παρθένε, καὶ τοῖς κύμασι συστεφανωθήσομαι, ὑγρὰν σοι παστάδα πηξάμενος. ἴσως καὶ Ποσειδῶν ἱερώσει τὴν συμπλοκήν.

Loquentis puellæ vocem ventorum flatus audiri non ſinebant: itaque viduæ mentis

Illa mari fixos oculos immota tenebat.

His omnibus ante tempeſtatem mariſque æſtus animus meus corruerat; Reſpondebã tamen, O virgo (nec enim hanc appellationem tibi Deus inuidit) decolauit ſpes fugæ, & quæcumque cogitauimus irrita cedunt. Amor nos ludos fecit; & ſomnia quæ finxit, nugæ prorſus ac vera ſomnia fuerunt.

Aſpice quæ totis flammas ardere medullis
Pectora, quos ignes vrere iuſsit Amor.
Omnia commotis exſtinguere Nereus vndis
Certat, & immites conſcius armat aquas.
Antè tamẽ fluctúſq; omnes haurire iuuabit,
Antè bibam pelagi quidquid vbique iacet.
Nempe manet, ſempérque animis hæc flamma manebit,
Obruat immerſum dum licet vnda caput.
Triſtia prærepti referant ſolatia fati;
In ſimili venies tu mihi morte comes.
Naufraga ferali iungentur corpora lecto,
Humidus & nobis ſic hymenæus erit.
Forſitan aut diuos pietas, aut æquora tanget.
Cur non & pietas poſsit ineſſe mari?

Prorsus ista nauis aut silentum est, & quæ manes ad Orcum vehit; aut Veneris lectus, quæ nos in plagam suam traduxit; aut Proserpinæ thalamus & fabulis celebratæ Siredones. Omnino, respondit Ismene, hæc à matre contra nos excitata tempestas insurgit: infelicis eleuatæ in cælum manus nos in profundum æquor impellunt. Illa diris deuotos nos mergit; illa porrectis in preces palmis maria supplex perturbat; dum feruet illius animus ira, extemplo frigore noster soluitur: iam enim inter Orci cancros hęremus, frigidúmque, vt poëtæ loquũtur, Erebum gustamus. Cohibe linguã, mater, vt Neptunus tempestatem cohibeat: contine manus, vt fluctibus liberemur. Parce vitæ nostræ: vtque ab æstu, vndis, salo & iactatione eripias, lachrymas siste. Iam pacta nostra, inquit obtutum in me destituens, finem accipiunt; hócque saltem solatium mihi, quòd tecum moriar, erit; nempe quo cum viuere dulce fuit,

ὄντως ναῦς αὕτη νεκροπομπὸς εἰς ᾅδου μετάγουσα· ὄντως παστὰς Ἀφροδίτης καὶ Περσεφόνης νυμφών· ὄντως μυθευομένη Σειρών. ἡ δέ μοι κόρη, φησὶ, παρὰ μηδὲν κατεπείγει μοι τὸ κλυδώνιον. χεῖρες μηδὲν εἰς οὐρανὸν αἰρόμεναι πρὸς βυθὸν ὠθοῦσιν ἡμᾶς, καὶ ὅλους καταποντίζουσι. ὦ γλῶσσα μηδὲν ἡμᾶς κατακλύζουσα· ὦ χεῖρες ἐκείνης ὅλας θαλάσσας ταύτας ταράττουσαι. ὦ ζέσις ψυχῆς ἐκείνης τὰς ἡμετέρας ταύτας παντελῶς καταψύχουσα. ἤδη γὰρ ἀΐδαο, κατὰ τὴν ποίησιν, γενόμεθα κρυεροῦ. ἀλλ' ὦ μῆτερ, ἐπίσχες τὴν γλῶτταν, ἵνα καὶ Ποσειδῶν τὸ κλυδώνιον· σύσχες τὰς χεῖρας, ἵνα τῶν κυμάτων ἀπολυθῶμεν ἡμεῖς. φεῖσαι τῶν ἡμετέρων ψυχῶν· στῆσον τὸ δάκρυον, ἵνα ἐξάξῃς ἡμᾶς ἀπὸ ζάλης, ἀπὸ κυμάτων, ἀπὸ σάλου καὶ κλύδωνος. καὶ πρός με φησίν· ἰδού μοι τὰ τῶν συνθηκῶν πέρας δέχεται. σὺν σοὶ θανοῦμαι. τοῦτό μοι παραμύθιον· οὕτω μοι καὶ τὸ ζῆν ποθητὸν,

καὶ τὸ θανεῖν οὐκ ἀνέραστον. οὕτω μὲν οὖν ἡμεῖς καὶ πρὸ τοῦ θανάτου συναποθνήσκομεν, καὶ τὰς ψυχὰς πρὸς ᾅδην μετεβιβάζομεν, καὶ παρθένοις ἐφυσῶμεν αὐτάς· ἐλευθέρας ἐξ ἀρετῆς καὶ δούλας ἐξ ἔρωτος, καὶ δοχξα μετὰ τὸ ἐξ ἔρωτος. ὁ δέ γε κυβερνήτης φησίν· ἄνδρες συμπλωτῆρες, ἄνδρες συγκλυδωνιζόμενοι καὶ συναποθνήσκοντες, καὶ τὸ πνεῦμα θρασὺ, καὶ τὸ κῦμα πυκνὸν, καὶ μέχρι νεφελῶν ἀνυψούμενον· τὸ ἱστίον διέρρηκται· τὸ σκάφος ὑδάτων θαλάσσης μεστόν. ἐμοὶ δὲ οὐκέτι σθένος ἀντέχειν πρὸς τοσοῦτον ὄγκον θαλάσσης καὶ βιαιότατα πνεύματα, καὶ πνευμάτων ἀντίπνοιαν. ἅλις μοι τῶν ναυμαχημάτων· ὅλος καθ' ἡμῶν Ποσειδῶν. τί μὴ κατὰ τὸν νηΐτην νόμον χεῖρας ἱκετηρίους σπενδόμεθα; καὶ κλῆρος ὁ νόμος, καὶ τὸ θῦμα κληρούμεθα; ταῦθ' ὁ κυβερνήτης, καὶ λέγων ἐδάκρυεν. ἡμεῖς δὲ ἐπὶ τὸν κλῆρον, κακῷ τὸ κακὸν θεραπεύσοντες. καὶ κλῆρος ἐπὶ τὴν Ὑσμίνην

cum illo mori non iniucundum eſt. Ita mortem occupantes, caſtiſſimas animas virtute ſua liberas ſolóque ab Amore quo pleniſſimæ erant domitas, piorum ſedibus reſtituebamus. Interim gubernator vectatores ſic adorat: Viri qui ſimul nauigatis, & iactamini morituri ſimul; incubuit mari violentior ventus; furit crebra procella & ad nubes vſque tollitur. Iam diſrupto velo plena mari ſcapha mergitur. Tot aquarum moles, & aduerſa ingruentium ventorum flamina,

--- tantúmque potentius omni
Arte malum eſt. --

Sat cum mari pugnatum; totum contra nos pelagus inſurgit. Cur ſecundum nauticas leges ſolita ſupplicum libamina non fundimus? de ſorte lex eſt; cur victimam non ſortimur? Hæc illo lachrimis obortis dicente, nos omnes malum malo, quod dicitur, ſanantes, ſortem occœpimus. Cecidit illa ſuper Iſmenem; *Ion. 1.*

statimque insolens ignis, nouus sacerdos, ara tumultuaria, ex tempore omnia parata sunt. Mare ignis fuit, fluctus ara, sacerdos gubernator qui nauticam legem tuebatur; victima pectus erat, aut Ismene potius quæ ab illo auelli non poterat: Sed illam ego mortalium infelicissimus amplexus, fundo me nauis credidi. Interea Cratisthenes precibus omnes fatigabat, virginis ætati, formæque parcerent. Verùm soluta sine imperio nautarum licentia igne (vt Tragicus dixit) fortior est. Itaque Cratisthene pænè fluctibus mandato, illam manibus meis auulsam optimus gubernator in alienis calamitatibus philosophatus, tamquam Deo plenus, ita disseruit; Chryseis Agamemnoni regi erepta Apollinis iram placauit, ab exercitu pestem propulsauit. Nos pariter hac victima numinis pacem exoraturi, illius naufragio nobis

θανάτου,

θανάτου, καὶ καινὸν πῦρ, καὶ ἱερεὺς καὶ βωμὸς αὐτοσχέδιοι. ἡ θάλασσα πῦρ, τὸ δὲ κῦμα βωμός, καὶ ἱερεὺς ὁ καλὸς κυβερνήτης, ὁ τὸν νηίτην νόμον πληρῶν. θῦμα δὲ, (ἀλλὰ μή μοι καρδία ῥαγῇς,) Υσμίνη παρθένος· ἣν ὅλην συμπλακεὶς καὶ περιπλακεὶς ὁ πολύτλας ἐγὼ πρὸς τὸν τοῦ σκάφους κατέδυν πυθμένα. ὁ δέ γε Κρατισθένης κατεδυσώπει τὸ ναυτικὸν, φείσασθαι λέγων κάλλους παρθενικοῦ καὶ νεότητος. ἀλλ' ἡ, κατὰ τὴν τραγῳδίαν, καὶ πυρὸς κρείττων ἀναρχία ναυτικὴ, μικροῦ δεῖν καὶ τὸν Κρατισθένην παρεδίδου τοῖς κύμασι. καὶ τὴν Υσμίνην μὲν ἀπέσπασε μου τῶν χειρῶν. ὁ δέ γε κυβερνήτης ἐν ἀλλοτρίαις φιλοσοφῶν συμφοραῖς ἀπεφοίβαζε· καὶ Χρυσηὶς ἀπεσπᾶτο χειρῶν Αγαμέμνονος βασιλέως. ἀλλὰ καὶ μῆνις Απόλλωνος ἐμαλάσσετο, καὶ λοιμοῦ στρατὸς ἀπηλλάσσετο. τοίνυν καὶ ταύτην ἡμεῖς τῷ ἡμετέρῳ θεῷ καταθύσωμεν, καὶ ὅλην τοῖς κύμασι καταδύσωμεν, καὶ ψυχὰς

ἡμετέρας ἀπὸ κλύδωνος σώσωμεν. ταῦθ' ὁ μεγαλίστωρ κυβερνήτης ἐφ' ὑψηλοῦ καθήμενος ἐρρητόρευεν. ἀλλ' οὐκ ἀπεσπάσατό μου τῶν χειρῶν ἡ παρθένος· ἢ τὴν, ἢ ἐπὶ τὴν, ἐν ἀσπίδι γνωματευομένου μου, κατὰ Λάκαιναν. καὶ ἦν ὅλος ἀρής ἡ ναῦς, καὶ κλύδων πολυειδής. ὁ μὲν δὴ τῆς θαλάσσης σάλος ἐφιλονείκει τὴν ναῦν εἰς βυθὸν καὶ πυθμένα θαλάσσης καταγαγεῖν· τὸ δέ γε ναυτικὸν ἐκ τοῦ πυθμένος τοῦ σκάφους καὶ χειρῶν τούτων ἐμῶν τὴν κόρην μεθείλκετο. αἱ δέ μου χεῖρες κατὰ τὴν Αὐραδάτου τῇ κόρῃ συνείποντο. καὶ ὅλος ἐγὼ συμμεθελκόμενος τοῖς ἕλκουσι· καὶ κατεδυσώπουν συμπαραδοῦναί με τῷ βυθῷ, καὶ συνδῦσαι τοῖς κύμασιν· οἱ δ' ἐλεοῦντες ἐπείθοντο, ἢ μᾶλλον ἠλέουν μὴ πείθοντες. ἀλλ' ὁ τὰ πάντα σοφὸς κυβερνήτης καὶ πάλιν κατεφιλοσόφει, καὶ πάλιν κατερρητόρευε, Ποσειδῶν, λέγων, τὴν κόρην ζητεῖ.

p. 5. ἐπὶ ταύτην ὁ κλῆρος. αὕτη θῦμα καὶ

Ps. 49. Matt. 20 λύτρον τῶν ἡμετέρων ψυχῶν. ἀποσπασθήτω

omnibus à periculo tempeſtatis ſecuris conſulemus. Hæc & ſimilia multiſcius

Ille gubernator puppi dicebat ab alta.

Virgo interea nequaquam eripiebatur mihi: nam aut illam redimere, aut cum illa occumbere fixum erat. Itaque tota nauis pugna ac multiplici tempeſtate iactari videbatur: inde feruens æſtu pelagus gurgitis profundo demerſam nauem abſorbere certabat; inde nautarum turba Iſmenem manibus meis nauíſque fundo fidentem trahebat. Verùm ego virgini adhærens, tamquam Abradatas Panthiæ, trahentes ſequebar; hoc ſaltem precatus, vt me pariter vndis committerent. Iámque illos mei miſertos perſuaſos iri credebam; ſed tantùm miſerantes deſtinati obdurabant. Ipſe gubernator iterum philoſophatus nautas ſic alloquutus eſt: Neptunus virginem petit: hæc ſorte deſignata animalis hoſtia, & vitæ noſtræ redemptio eſt. Itaque

huius ab manibusq; brachiiſque per vim auulſa fluctibus maríque tradatur. Nec mora, cùm abrepta virgo veſtem exuta & nuda gubernatori ſiſtitur. Ille pontum oculis emenſus, popa ſacerdóſque inſolens, Hanc tibi, inquit, domine Neptune, meliorem animam pro morte noſtra perſoluimus: (tu modò anima ægra,

Ne curre ad labias mihi,
Rimata itineri tranſitus.)

Dixit, nec diu cunctatus puellam in mare præcipitem deiecit. Ego hærente voce, quaſi cum puella depoſitus anima vitáque ſepultus, nauem lachrymis obruere conabar; Iſmenes nomen ingeminans, quæ interea tamquam epota omni aqua, abſorptóque mari, ac velut reciproco æſtu ſubſidente ventos inanimes expirare fecit, redditáque ſubita tranquillitate poſt fœdam tempeſtatem repẽtè fluſtrum fuit. Turbata mens animi

τὴν τούτου χειρῶν· διαρραγήτω τὴν ὠλενῶν· παραδοθήτω τῷ βυθῷ καὶ τοῖς κύμασι. τοίνυν ἀποσπᾶται μου τῶν χειρῶν ἡ παρθένος. ἀποδύεται τὸν χιτῶνα, καὶ ταῖς τοῦ κυβερνήτου χερσὶ γυμνὴ παρατίθεται. ὁ δὲ τὰ πάντα σοφὸς καὶ κυβερνήτης καὶ ἱερεὺς καὶ θύτης καινός, τὴν κόρην λαβών, καὶ ὅλους τοὺς ὀφθαλμοὺς τοῖς κύμασιν ἐμβαλών, καὶ τοῦτό σοι θῦμα, δέσποτα Πόσειδον, καὶ λύτρον, εἰπών, (ἀλλὰ μή μοι τὸ τῶν ὀδόντων ἕρκος ἐκφύγῃς ψυχὴ) τῆς νεὼς τὴν κόρην ἐξεσφενδόνησε, καὶ ὅλην ἀφῆκε τοῖς κύμασιν. ἐγὼ δὲ ὅλην τὴν φωνὴν καὶ αὐτὴν τὴν ψυχὴν συναφῆκα τῇ κόρῃ. καὶ ὅλην τὴν ναῦν ἐφιλονείκουν κατακλύσαι τοῖς δάκρυσιν· Ὑσμίνη, λέγων, Ὑσμίνη. ἡ δ' ὅλον ὥσπερ καταπιοῦσα τὸν κλύδωνα, τὸ ὅλας ἐξερευξαμένη θαλάσσας, καὶ ὥσπερ τις ἄμπωτις ὅλους ἀνέμους ἀναρροφήσασα, νηνεμίαν τῇ θαλάσσῃ παρέσχε, καὶ γαλήνην ἐκ σάλου τοῦ κλύδωνος· ἐμὴν δὲ ψυχὴν

ὅλην κατεκύκα, καὶ ὅλην ἐτάραττε. καὶ τὸ μὲν δὴ ναυτικὸν σὺν αὐτῷ κυβερνήτῃ γλυκάζον ἔαρ ἐδρέποντο, καὶ ἡδονῆς ποτήριον ἔπινον ἐξ οὕτω πικροτάτου χειμῶνος σάλου καὶ κλύδωνος· ἐγὼ δὲ κόνδυ πικρίας, καὶ ἀψίνθιον θαλάσσης ὅλας ἐκπεπωκώς, καὶ ὅλας τοῦ στόματος ἐκκενῶν καὶ αὐτῶν ὀφθαλμῶν, ὅλην ἤμουν καταχλυδωνίζων τὴν ναῦν, καὶ ὅλον σάλον ἐγείρων καὶ δεύτερον κλύδωνα· ὃν δὴ μὴ φέρων ὁ κυβερνήτης, ἀλλ᾽ οἰωνὸν οὐκ ἀγαθὸν τὸν θρῆνον οἰόμενος, περὶ τὸ χέρσον ἄγει τὴν ναῦν, καί με τῆς νεὼς ἐξεφόρτωσεν. ἐγὼ δὲ τῇ ψάμμῳ καὶ τῇ θαλάσσῃ παρακαθήμενος, ὅλην ἐξετραγῴδουν τὴν συμφορὰν, χοὰς ἐπιτυμβίους τῇ κόρῃ κατασπενδόμενος· Ὑσμίνη, λέγων, Ὑσμίνη, φῶς ἀπορρυέν μου τῶν ὀφθαλμῶν, ὄρνις ἀποπτᾶσα μου τῶν χειρῶν. ὦ ναυαγίου πικροῦ καὶ κλύδωνος ὑπερφυοῦ· ὦ γαλήνης μοι πικροτέρας καὶ κλύδωνος· σὺ μὲν ἀπηλλάγης τῷ σάλῳ καὶ τῷ ῥοθίῳ τοῦ

tanto malo fluctuabat, dum placidi ponti pellacia læti nautæ fruebantur, in tranquillum ex ſæuis tranſlati tempeſtatibus. Ego exhauſto amaritudinis ſcypho toto velut abſinthio mari, quod ore oculíſque poſtmodum redderem, nauem mundaturus, alios æſtus aliáſque aquarum moles excitabam. Non tulit hos luctus impatiens gubernator: ſed dirum obſcœnúmque ſibi & ſuis omen arbitratus, naui ad littus appulſa, me exonerauit. Tum verò in littore ſedens infortunium quod acciderat cruciabili voce repetens, ferales Iſmenes Manibus inferias libabam: Iſmene, inquiens, lumen oculorum meorum, euanuiſti; tamquam auis è manibus auolaſti. O naufragium acerbum! ô miſeram tempeſtatem! ô tranquillitatem ſæuiorem! tu furentium vndarũ impetu abrepta

perijsti, & animum iuctu submersum obruisti. Tu castissimum spiritum vndis coronata exhalasti: mihi luctus, lachrymæ dolórque pro corona sunt. Tibi genialis lectus mare, idémque sepulchrum fuit: atque ego sponsus eram, qui neque nuptiale carmen his nuptijs lætior cecini; sed in arena tamquam inani in tumulo ferales næniás pertexens toti Nereidum inuocatæ turbæ infortunium meum narrabo. Ah sæuos maris fluctus, qui deperditos sensus luctus amarore cumularunt! Ah tempestatem, quæ thalamum & nuptam simul aquis obruit! ah calamitatis casus aduersæque fortunæ! ô pharetram, cuius omnia tela consumpsit Amor! ah cæcum ignem, quem in ima præcordia delapsum sensimus! ô Rex Amor Deorum

κύματος. ἐμοῦ δὲ κατεβάπτισας τὴν ψυχὴν ὅλαις θαλάσσαις κωκυτῶν περικλύζουσα. καὶ σὺ μὲν, ψυχὴν παρθένον φύσησας, ὅλη στεφανωθεῖσα τοῖς ὕδασιν· ἐμοῦ δὲ τὴν κεφαλὴν καὶ ψυχὴν ὥσπερ εἰρεσιώνας ἐστεφάνωσαν ὀδύναι καὶ γόοι καὶ δάκρυα. θάλαμός σοι καὶ τάφος ἡ θάλασσα, καὶ θαλαμηπόλος ἐγώ. ἀλλ᾽ οὐκ ἐπιθαλάμιον ᾄσω σοι, οὐκ ἐπικροτήσω γαμήλιον· ἀλλ᾽ ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ, πικρὰς ἐπιθανατίους πλέξω σοι τὰς ᾠδάς· καὶ ὅλον χορὸν Νηρηΐδων συγκαλεσάμενος, ὅλον κατατραγῳδήσω μου τὸ δυστύχημα. ὦ κῦμα θαλάσσης ὅλην μου καταπικραῖνον τὴν αἴσθησιν. ὦ κλύδων ὅλον νυμφῶνα καὶ νύμφην αὐτὴν κατεπικλύσας τοῖς κύμασιν. ὦ δυστυχημάτων ἐμῶν. ὦ τύχης ὅλης ἀντιπνεούσης ἡμῖν. ὦ φαρέτρας ἐκείνης, ἣν μοι κατὰ καρδίας Ἔρως ἐκένωσε. φεῦ ἀφροδισίου πυρὸς, οὗ μοι κρατῆρας ὅλους Ἔρως ἀνῆψε κατὰ ψυχῆς. ἀλλ᾽ ὦ βασιλεῦ Ἔρως πάντων θεῶν

βιαιότερε· ὦ ψυχὰς καταστυραννῶν· ὦ βέλος πέμπων, καὶ τοῖς ὀφθαλμοῖς συμμεθελκόμενος τὰς ψυχάς. ὦ σπλάγχνα φλέγων, καὶ ὅλας καρδίας καταπιμπρῶν· ὦ βασιλεῦ ὀνείρων, εἰ δ᾽ οὐχὶ πάντων, ἀλλὰ μόνων ψευδῶν. οὗτος θρασὺς ἐλέγχει σε Ποσειδῶν. ὁπλίτην εἶδόν σε, καὶ τοῖς βέλεσι τέτρωμαι, πλὴν καὶ ὅλην τὴν ψυχὴν καταπέφλεγμαι. πτερωτὸν καὶ τὸ πτερὸν οὐκ ἐξέφυγον. ἀλλ᾽ ἤδη σοι καιρὸς καὶ τῇ γυμνώσει τοῦ σώματος χρήσασθαι καθ᾽ ὅλης Ἀμφιτρίτης, καὶ Ποσειδῶνος αὐτοῦ. οὗτος τὴν παρακαταθήκην ἥν μοι παρέθου, βασιλεῦ, σεσύληκε· τὴν σὴν Ὑσμίνην, ἥν μοι παρέθου ταύτῃ τῇ δεξιᾷ, οὗτός μοι τὸν θησαυρὸν ἐληΐσατο. σὺ δ᾽ ἀλλ᾽ ἀπόθου τὸ πῦρ καὶ τὰ τόξα καὶ τὸ πτερόν. εἰ δέ μοι βούλει, πρόσθου καὶ κατάδυθι πρὸς βυθόν, καί μοι τὴν Ὑσμίνην ἀνάγαγε· τὴν Ὑσμίνην ἧς μόνον ἐπιμνησθεὶς, ὅλα πυρπολοῦμαι τὰ σπλάγχνα, καὶ ὅλην ψυχὴν κατακαίο-

potentiſſime, qui animis imperas,

Et adducto qui flectis cornua neruo:

qui oculorum illicio mortalium mentes trahis, & aduſtis viſceribus

Pectori, & arcanos inſtillas oſsibus ignes.

O ſomniorum princeps, ſi non omnium, eorum ſaltem

Quæ falsò ludunt homines volitantibus vmbris.

Ita ergo Neptunus inſultans te iocos fecit. Tu armatus mihi viſus es, ſtatimque telo tuo percuſſus ſum. Tu facem geſtabas; ſubitóque animæ flagrantia caluit. Tu volatilis, nec præpetis pinnæ remigium effugere potui. Iam nuditate tua contra Neptunum opus eſt. Ille depoſitum, quod fidei meæ commiſeras, rapuit; Ille Iſmenem tuam quam in manum conuenire iuſſeras, theſaurum meum, prædatus eſt. Tu igne, arcu, aliſque depoſitis accurrens, cum illis, ſi placet, profundo te crede, illámque reducem mihi ſiſte: illam ipſam Iſmenem, ad cuius ſolum nomen redijt illa cura,

Quæ nunc me coquit & verſat ſub pectore fixa.

O iucunda, vt in somnis, oscula, amplexúsque, ac cætera liberioris nequitiæ somnia, quæ me Amori mancipa-runt. Verùm illa ridicula, omninóque somnia erant. O Iupiter deorum verissime, illa dira volucris tua hos futuros casus indicauit. Ecce puella Ismene manibus ab meis auulsa est. Ego pactam fidem violaui, qui eadem morte me periturum deos testes aduocaueram. Nunc illam malæ Orci tenebræ tegunt, postquam fluctibus mandatam fato defungi oportuit. Ego mortalium infelicissimus,

Hîc sedeo, & cæli duco spirabile lumen.

Tu Orchio tradita thesauro esse desiisti, me viuo & in terra videndo. Obmutuit clausum ostium Cupidinum melle plenissimum, dum ego tristissimum vitæ exodium repetam hianti deductóque ore, quod velut apis aculeo percussum calamitatibus intumescit. Interea

ται. ἀλλ' ὢ τῶν ὡς ἐν ὀνείροις ἐκείνων
τερπνῶν τῶν φιλημάτων, τῶν συμπλοκῶν,
τῶν περιπλοκῶν, καὶ τῶν ἄλλων ἐρωτικῶν.
βαβαὶ τῶν ὀνείρων οἷς ἠνδραπόδισμαι.
νέφεσι πάντως καὶ ὕπνος, καὶ ὄντως κατά-
λως. ὦ Ζεῦ θεῶν ἀληθέστατε, ὄντως σὸς
ιωνὸς ἐκεῖνος ἀπαισιώτατος ὅλον μοι τὸ
δηλον τοῦτο καθαρῶς αἰνιττόμενος. ἰδοὺ γὰρ
σμίνη παρθένος ἐξέφνης μοι τούτων χει-
ῶν βιαίως ἀπέσπασται. ἀλλ' ὢ κόρη τῶν
τεθνηκότων σοι κατέψευσμαι. οἴμοι σοὶ
τεθνάναι θεοὺς αὐτοὺς διεμαρτυράμην σοι,
καί σοι τοῦτο τὸ θανάσιμον συμμεμοίραται.
νῦν δέ σε μὲν σκότος καλύπτει, καὶ κῦμα
πρότερον ἐξέφνης κατεπέκλυσεν. ἐγὼ δὲ
τῶς ὁρῶ καὶ τοῖς κύμασι παρακάθημαι.
ὺ μὲν πρὸς ᾅδην, ἐγὼ δὲ πρὸς γλῶ-
κέμυκέ σου τὸ στόμα τὸ σύμβολον τοῦ μέλιτος.
τὸ δ' ἐμὸν τοῦτο στόμα πλατυνθὲν ἐξ
ὀδύνης, κατατραγῳδήσει σοι τὸ ἐξι-
τήριον· καὶ ὡς ἐκ κεντρούσης μελίττης
πληγὴν, φλεγμαίνει τοῖς πάθεσι. καὶ σὺ μὲν

ἀμνηστίας ἴσως ἐπεγκαλέσεις ἡμῖν· ἡμεῖς δέ σου τὴν μνήμην ὥσπερ συμψυχώσαντες ἑαυτοῖς, σὺν αὐτῇ ψυχῇ καὶ ταύτην φυσήσομεν, ἢ μᾶλλον καὶ μέχρις ᾅδου συγκατάγωμεν, καὶ μέχρι τοῦ τῆς λήθης κρατῆρος αὐτοῦ θρηνοῦντες πικρὸν ἐκεῖνον ἀναπόνιπτον. ταῦτ᾽ ἔλεγον· καί μου τῶν ὀφθαλμῶν ἀπέρρει τὸ δάκρυον, καὶ κατὰ θάλασσαν ἐξεχεῖτο, καὶ πυκνῶς κατεκυματοῦτο, καὶ ὅλον με κατεπέκλυζεν. ἐν μέσοις δὴ τούτοις ὕπνος λαθὼν ἐμπίπτει μου τοῖς ὀφθαλμοῖς, καί με πρὸς ἑαυτὸν ὅλον ἐφέλκεται. καὶ πάλιν Ἔρως ἐφίσταται διὰ νυκτὸς ὑπνωμένῳ μοι. καὶ ἦν Ἔρως ὄντως ἐκεῖνος ὁ γεγραμμένος ἐν Αὐλικώμιδι, καί μοί φησιν, Ὑσμινία, χαίροις. ἐγὼ δὲ, ἀλλ᾽ οὐ χαρτὰ πάσχω. τὴν γάρ μου παρακαταθήκην ἣν ταῖς χερσί μου ταύταις παρέθου, τὴν σὴν Ὑσμίνην καὶ παρθένον ἐμὴν, οὗτος θρασὺς Ποσειδῶν ἐκεῖνος τούτων ἐμῶν ἀγρίως ἀφαρπάζει χειρῶν, ὅλην κυκήσας θάλασσαν, ὅλον ἀνεγείρας

madidæ memoriæ Iſmeniam tuum inſimulabis, qui tui recordationem cum anima coniunctam ad inferos vſque, ſi licet, ac ipſa Lethes obliuia miſerabili perpetuóque luctu conſeruabit. Fluebant loquentis ab oculis lachrimæ, quæ tamquam aliud mare crebris me velut fluctibus inundabant. Interim tacitus adrepens ſomnus oculos placida quiete compoſuit; iterúmque dormientem Amor, qualis Aulicomide viſus erat, me interpellans vt valerem interrogauit. Ego, inquam, minimum patior, à quo depoſitum tuum, quod mihi commiſeras, excitata tempeſtate commotóque mari audax Neptunus 235

eripuit. Atqui species natantium singulas nuditatem tuam timentes inspexi: igitur puellam tam elegantis maturæque formæ, merum amorem spirantem, quæ tibi seruitium detulit, méque amantium numero adscripsit, pelagi profundo ereptam libera. Nos tuo saucij telo, patria protelati viuimus: Tuo ardentibus igne somno non vmbrantur pupulæ: tuis viribus freti, spreto vndarum periculo, mare conscendimus. Ah impotentem potentiam tuam, aut potius infortunium meum! Neptunus


Præ se vndas voluens, vortices vi suscitans,

nauem vndis obruere conatus, Ismenem cui parcere te decebat, per vim mihi viuentium infelicissimo eripuit. Itaque succurre, qui omnium dominaris. Nulla mora est

χλυδῶ-

κλυδώνιον. ἀλλ' ὦ βασιλεῦ Ἔρως, ὅλον σοι γένος Ἀμφιτρίτης εἶδον δουλογραφούμενον, καὶ σὺ φείδου τὴν γύμνωσιν. ὦ βασιλεῦ, ἐκ βυθοῦ καὶ θαλάσσης τὴν Ὑσμίνην ἀνάγαγε, παρθένον οὕτω καλήν, οὕτως ὡραίαν, οὕτω πνέουσαν Ἔρωτος, καὶ σοι δουλογραφουμένην, καί με δουλογραφοῦσαν τὸν ἐραστήν. σοῖς τετρωμένοι βέλεσι, βασιλεῦ, πατρίδων ἡμῶν ἀπομνάσται γεγόναμεν· σῷ πυρποληθέντες τὰ σπλάγχνα πυρί, βασιλεῦ, νύκτας ὅλας ἀΰπνους ἰαύσαμεν. σῇ δυνάμει θαῤῥήσαντες, βασιλεῦ, θαλάσσης ἐπέβημεν, πελάγεσι κατετολμήσαμεν. ἀλλ' ὦ τῆς σῆς δυναστείας, εἴτ' οὖν ἐμῆς δυστυχίας, ὅλον Ποσειδῶν ἐγείρει κλυδώνιον, ὅλον θυμὸν κατὰ θαλάσσης κενοῖ· ὅλην τὴν ναῦν φιλονεικεῖ καταβαπτίσαι τοῖς κύμασι· καὶ τὴν Ὑσμίνην, ἧς φεῖσαι, βασιλεῦ Ἔρως, ὅλη θρασείᾳ χειρί, βαβαί, τούτων ἐμῶν ἀθλίων ἀφαρπάζει χειρῶν. ἀλλ' ὦ πολύτων Ἔρως κρατῶν, ὅσ' ἐπτερύξατο τοῖς

ποσῖν· καὶ κατὰ μέσα πελάγη φερόμενος, ἐμπίπτει τοῖς κύμασι καὶ χωρεῖ πρὸς βυθόν. καὶ μετ' οὐ πολύ μοι πάλιν ἐφίσταται, τὴν Ὑσμίνην ἀνέχων περὶ τὴν χεῖραν, καὶ ὡς ἐκ θαλάσσης ὑγρὰν καὶ λελουμένην ταῖς χερσί· καὶ ταῖς ἐμαῖς ταύταις χερσὶ παρατίθεται. ἐγὼ δ' ὡς τὴν Ὑσμίνην λαβὼν, ὑφ' ἡδονῆς ἐξανέστην τῶν ὕπνων. τὰ δ' ἦσαν πάντα, καὶ πάλιν ὄνειροι δουλεύοντες Ἔρωτι.




ΒΙΒΛΙΟΝ η'.

ΟΥΤΩ μὲν οὖν μεθ' ἡδονῆς καὶ χαρᾶς ἀναστὰς τῶν ὕπνων, ὅλοις τοῖς ὀφθαλμοῖς ἐζήτουν τὴν Ὑσμίνην ἰδεῖν. ἡ δ' ἦν οὐδαμοῦ. πλῆθος δ' ὁρῶ περὶ τὴν ψάμμον, καὶ πλῆθος οὐκ εὐαρίθμητον Αἰθιόπων, ἀγρίων ἀνδρῶν· οὓς ἰδὼν, νὴ τὴν τῶν ἐμῶν δυστυχημάτων θάλασσαν, ὅλος

cùm ille pernicibus alis medium mare occupans, præcipiti volatu vndarum profundo immersus est; statímque Ismenem innoxiam, sed adhuc madentem & quasi alteram Venerem Gratiarum balineo recreatam exposuit; iterúmque mihi tradidit. Ego excussa præ gaudio quiete euigilans somnum amatorium esse deprehendi.





LIBER OCTAVVS.

ITA cum gaudio & voluptate somnio emersus Ismenem acri obtutu quærebam:

--- verùm illa repentè recessit,
Nec se se dedit in conspectum corde cupita.

Tamen innumeram Æthiopum multitudinem (est autẽ crudele hoc hominum genus) oculis arbitratus sum. Attonitus repentinæ visionis stupore, per illa quæ me nimiũ vexant infortunia,

vecors animi steti: vtinam hoc pariter somni terriculamentum fuisset, sed ipsissima veritas erat. Nam me conspectum crinibus trahentes immaniter, tamquam prædam nacti, in triremem, quæ sublimis clauis & molentibus pendebat, deductum, eiúsque fundo creditum ad remum collocarunt. Postquam rudentibus collectis à terra soluissent, statim remis, quantoscumque vlla triremis vmquam habuit, nauem accelerantes, illam in portum capacem & à vento tutum deduxerunt. Mox minimo cibo potúque recreati, pane scilicet & aqua, quieti temporiùs recesserunt, relictis qui insomnes essent ad puppem & proram custodibus. Circa tertiã vigiliam noctis, solutã nauem remis iterum vrgentes ad oppidulum silentio appulsi,

ἐξανέστην εὐθύς, καὶ ἤθελον ὄναρ ὁρᾶν· τὸ δ' ὕπαρ ἦν. ὁρῶσι γάρ με καὶ μεθέλκονται τῶν τειχῶν, καὶ περὶ τὴν τριήρη βαρβαρικῶς ὥσπερ τι θήραμα φέρουσι. παρῆν γὰρ ὥσπερ ἀπῃωρημένη τῆς γῆς ἐν πασσάλοις καὶ πείσμασι· καὶ περὶ τὸν τῆς τριήρους καταγαγόντες πυθμένα, τῇ κώπῃ παρακαθίζουσιν. ἐπεὶ δ' ἀποβῶσι τῆς γῆς, ὅλα συναγαγόντες τὰ πείσματα, κώπαις πλέουσι τὴν ναῦν, ὅσας αἱ τριήρεις ἔχουσι πυκνάς. καὶ περὶ λιμένα γενόμενοι, νήνεμον καὶ λίαν εὐάγκαλον ἐλλιμενίζουσι τὴν τριήρη. καὶ μικρὸν μεταλαβόντες τροφῆς καὶ ποτοῦ, τὰ δ' ἦσαν ἄρτος καὶ ὕδωρ τούτοις ἐπιφερόμενα, πρὸς ὕπνον ἐτράπησαν, περὶ πρῷραν καὶ πρύμνην δυστάκτους ἀφωσιωσάμενοι φύλακας. περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς διαστάντες τῶν ὕπνων, κώπαις πάλιν πλέουσι τὴν ναῦν, καὶ τοῦ λιμένος ἐξάγουσι. καὶ περὶ τι γεγονότες πολίχνιον, καὶ σιγῇ τὴν ναῦν προσορμίσαντες, καὶ τὴν

χειρῶν ταῖς μὲν δὴ λαιαῖς ἀσπίδας λαβόμενοι, ταῖς δ' αὖ ἑτέραις δεξιῶς ἀνασπώμενοι φάσγανα, καὶ ὅλους ἑαυτοὺς τοῖς ὅπλοις καταφραξάμενοι, ὡς μάγισται κρεῖον, ὅλον ἐπεκύκλωσαν τὸ πολίχνιον. καὶ θροῦν ἐγείραντες βαρβαρικόν τε καὶ ἄσημον, ἀόπλοις ὁπλῖται, κοιμωμένοις ἄγρυπνοι κατεπέθεντο, σφάττοντες, ἁρπάζοντες, ὡς θῆρες, ἀγρίως ἅπαν κατασπαραττόμενοι τὸ πολίχνιον. καὶ πᾶν τὸ παρατυχὸν καταληϊζόμενοι σὺν αὐταῖς γυναιξί, σὺν αὐταῖς παρθένοις, νεανίσκοις, ἀνδράσιν, ὅσοις μὴ πρὸς ᾅδην βαρβαρικὴ μετεβίβασε μάχαιρα. περὶ γοῦν δὴ τὴν τριήρη πᾶν τὸ ληϊσθὲν συναγαγόντες οἱ πειραταί, καὶ τούτοις κατεπιβάντες, καὶ συνεπιβάντες αὐτοί, μακρὰν τοῦ λιμένος ἀπέβησαν. καὶ περὶ μέσα πελάγη γινόμενοι, καὶ ὡς ἐν θεμελίοις τοῖς καλωδίοις ὅλην τὴν τριήρη καταπηξάμενοι, τὰ σκῦλα μερίζονται. τούτων δ' ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν νεανίσκοις, ὅσον ἐν παρθένοις καὶ γυναιξίν,

clypeo læua ſumpto, enſe in dextera nudo, armis omnibus inſtructi, velut alueare ſolent apes, illud corona cinxerunt. Mox excitato barbarico & incondito tumultu armati inermes, ſomnolentos vigiles inuaſerunt, totum oppidum quod cædibus rapinîſque compleuerant, immaniter tamquam belluæ laniantes. Etiam poſt tot vaſtitates funerum, & obuia omnia quæ prædæ ceſſerant, abactæ mulieres, virgines, adoleſcentes, & viri quicumque gladijs fatóque vitam non reddiderant. Collecta in triremem omni præda, nauem conſcendentes procul à portu receſſerunt, medióque mari, funibus, & *dente tenaci*

Anchora fundabat naues.

Ibi demum ſpolia diuiſuris viri, adoleſcentes,

Et grege permixto pueri, innuptæque puellæ,

vestibus exutæ nudo corpore ad pubem vsque intectæ exhibebantur. Homines nauis fundo, mulieres barbarorum probris, & libidini seruatæ sunt: quæ signati pudoris erant, laceram indutæ tunicam vim nullam expertæ sunt, neque aduersus illas fœdum quidpiam consultum est: cuius legis ergô, nescio. Cùm aduersus mulieres ita turpiter se gessissent, reliquis similiter compositis, prandio concessere. Estur opiparè potatúrque: nec vt prius defrudans genium mensa. Hominibus, vt dictum est, in triremis fundo, virginibus in prora locus constitutus erat. Mulieres accubuere barbaris: qui postquam lautos

ἀπεδύετο τὸν χιτῶνα· καὶ ἦν ἀπερικάλυπτον καὶ μέχρις αἰδοῖς, καὶ γύμνωσιν καθόλου φέρειν τοῦ σώματος. ὁ μὲν οὖν δὴ πυθμὴν τῆς τριήρεως, καὶ νεανίσκους, καὶ τοὺς ἄνδρας ἐδέχετο· τὰς δὲ γυναῖκας αἰσχύνη καὶ βαρβαρικὴ τις ἀσέλγεια. παρθένοις γὰρ οὐκ οἶδ' ὅπως ἢ τινὶ νόμῳ βαρβαρικῷ καὶ χιτὼν διεῤῥωγὼς τις ἀπεδιδύσκετο, καὶ χεὶρ αὐθάδης οὐκ ἐπετίθετο· οὔτε τι βαρβαρικὸν ἐπὶ ταύταις αἰσχρῶς κατεπράττετο. οὕτω τοίνυν τὰ μὲν περὶ τὰς γυναῖκας αἰσχρῶς. τὰ δ' ἄλλ' ἀκόσμως οἱ βάρβαροι διακοσμησάμενοι, περὶ τὸ δεῖπνον ἐτράπησαν. καὶ ἦν ἡ τράπεζα τούτοις πολυτελὴς, οὐχ ὡς παρὰ μικροῦ βαρβαρικὴ, καὶ πολυτελῶς ἀφιλότιμος. τοῖς μὲν οὖν ἀνδράσιν, ὡς εἴρηται, τῆς τριήρεως ὁ πυθμὴν ἀφωσίωται· ταῖς δέ γε παρθένοις, ὁ περὶ τὴν πρῷραν τόπος ἀφώρισται. αἱ γάρ τοι γυναῖκες τοῖς βαρβάροις αἰσχρῶς περὶ τὸ δεῖπνον συνανεκλίθησαν. μετὰ γοῦν δὲ πολυτελοῦς,

ὡς εἴρηται, τὰς σφάς, καὶ τὴν αἱματηρὰν ἐκείνην καὶ ὅλην αἵματος τράπεζαν, τοὺς μὲν νεανίσκους (ὀλίγοι δ' οὗτοι) ταῖς κώπαις παρακαθίζουσιν. ὅσοι δ' ὑπερβεβήκασι τούτοις, βαβαὶ τῆς τῶν βαρβάρων ἀμειλίκτου ψυχῆς, ξίφους γεγόνασι παρανάλωμα, καὶ τὰς κεφαλὰς ἐκτεθνεῶς εἰς θάλασσαν ἐξεσφενδονήθησαν. αἱ δὲ γυναῖκες αἰσχρῶς τοῖς βαρβάροις συνανεκλίθησαν. καὶ ἦν ἡ τριήρης πανδοχεῖον πλῆρες αἰσχρότητος, καὶ συμπόσιον αἵματος. οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός. ἐπεὶ δὲ νὺξ οὐδαμοῦ· ἥλιος γὰρ ὑπὲρ γῆν, καὶ τὸ ζητούμενον φῶς ἡμῖν προσεγέλασε, καὶ ἦν ἡμέρα τὸ φῶς· ὡς ἐκ παστάδος ἀνέστη τὸ βάρβαρον, καὶ ἦν ὅλον μεθύον ταῖς ἡδοναῖς, καὶ βαρβάρῳ φωνῇ καταγλωσσαλγοῦν καὶ οἷον διαλεγόμενον. μετὰ γοῦν δὴ πολύν τινα θόρυβον ὅσον τὸ ναυτικὸν ἐγείρει, καὶ μᾶλλον τὸ βάρβαρον, ᾠδή τις ἀλλόθρους καὶ ἄσημος ἱστῷ λευκῷ τὴν τριήρη κατεκόσμησε. καὶ τὸ πνεῦμα πνεῦσαν ἐκ πρύμνης ὅλον

cruentósque satis detruncauerant cibos, adolescentes paucos ad remum collocarunt, omnibus ætate prouectioribus (ô crudeles Barbarorum animos!) gladio consumptis, quorum capita fluctibus mandata sunt; dum accumbentes feminæ mero prandióque sauciæ cum barbaris voluptarentur. Ita triremis meritorium & sanguine ac cæde maculatum conuiuium fuit. Hæc gesta sunt,

-- dum Sol albus recessit in infera noctis.
Sed cùm candida se radijs dedit icta foras
lux;

iámque cupita dies orbi arrisit, emersi somno & velut nuptiali lectulo scelerati, nimiáque iam Venere ebrij, multa barbara inter se loquacitate collocuti, post immane murmur & quale ac quãtum nautica multitudo excitare amat, ornatam candido velo triremem ab aliquo illorum incondito alicuius mandato, vndis permiserunt: statímque flantes à puppe Zephyrorum animæ

pleno curuata vento vela ferebant; visáque nauis, tamquam impatiens pugnæ, pedibúsque solum quassans equus. Omittam quæ barbari cum mulieribus per summam impudentiam flagitiosè luserunt: cætera prætercea quæ vt barbaros decuit composita sunt. Tandem Artycomidem secundo appulsos vento magnus mortalium in littore numerus excepit. Ibi post illas quas Barbari & Piratæ cum incolis libationibus pacisci solent inducias, obsidibus in triremem receptis res nostræ prædáque ex oppiduli direptione exposita est: statímque subita, in littore, fori species conspecta est, breuíque exonerata naue omni auri, argenti, æríssque & ferri ac vestium cæteráque rapta à barbaris supellectile, singula pretio cesserunt. Sola mancipia in littore non exposita, in naue

τὸ ἱστίον ἐκύρτωσε. καὶ ἦν ἡ τριήρης ὡς ἵππος εἰς πεδίον κροαίνουσα. καὶ ἵνα τἀν μέσῳ παρῶ, ὅσα τὸ βάρβαρον κατεκώμαζεν, ὅσα ταῖς γυναιξὶν ἀνῃδεύετο, καὶ τἄλλ᾽ ὁπόσα βαρβαρικῶς καὶ ἀσέμνως ἐστέλλετο, εὐφόρῳ τῷ πνεύματι, περὶ τὴν Ἀρτυκώμην ἐγινόμεθα· καὶ πλῆθος ἐξ Ἀρτυκώμιδος ὁρῶμεν περὶ τὴν ἤπειρον. καὶ μετὰ μὲν δὴ πολλὰς τὰς σπονδάς, ἃς οἶδε τὸ βάρβαρον σπένδεσθαι, καὶ ὅσα πειρᾶται πρὸς ἠπειρώτας βαρβαρικῶς διαλλάσσονται, δέχεται μὲν ἡ τριήρης ὁμήρους τινάς· ἡ δ᾽ ἤπειρος τὸν τῆς τριήρους φόρτον ὅσον ἐκ τοῦ πολίχνου τὸ βάρβαρον ἐληΐσατο. καὶ ἦν περὶ τὴν ψάμμον πανήγυρις αὐτοσχέδιος. ὅσον μὲν οὖν ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καὶ χιτωνίσκοις καὶ τοῖς ἄλλοις ὅσα βαρβαρικὴ καταληΐζεται χείρ, τῆς τριήρους ἐξεφορτοῦτο, καὶ ὅλον διεπιπράσκετο. τὸ δ᾽ ὅσον τῆς λείας ἐν ἀνθρώποις ἦν, οὐ μετεκομίσθη περὶ τὴν ἤπειρον, ἀλλ᾽ ἐν αὐτῇ τῇ τριήρει

κατεπιπράσκετο. καὶ γυναικῶν μὲν καὶ νεανίσκων αἰχμαλώτων ἡμῶν, ὀλίγος τοῖς ἐξ Ἀρτυκώμιδος λόγος, ἢ μᾶλλον οὐδείς. τὸ πᾶν δ' ἐκεχύνει περὶ τὴν τῶν παρθένων κτῆσιν. αἱ δ' ἦσαν πολλοῦ τοῖς βαρβάροις τιμώμεναι, καὶ πολλοῖς τοῖς ἐξ Ἀρτυκώμιδος κτώμεναι. μετὰ μὲν τοί γε τόξον καὶ πηγὴν τῆς Ἀρτέμιδος, ἣν Ἀρτύκωμις φέρει Ῥῆνον ποταμὸν Κελτικόν. ἱερὸν γὰρ ἐν Ἀρτυκώμιδι περιφανὲς τῆς Ἀρτέμιδος. οὗ μέσον χρυσοῦν Ἀρτέμιδος εἴδωλον, τόξον τεῖνον ταῖν χεροῖν· τοῖν δέ γε ποδοῖν πηγὰς βλύζον κατὰ ποταμὸν ῥεούσας ἐριβρύχην καὶ πολυχεύμονα. ταύτας δὴ τὰς πηγὰς ἀνακαχλάζειν εἴποις ἰδών. ἃ δὴ καὶ τόξον καὶ πηγαὶ παρθένον διελέγχουσι τὴν παρθενικὴν ἀποσύλησιν. εἰ γάρ τις περὶ παρθένον διψυχεῖ καὶ ζητήσει τὸν ἔλεγχον, ἐπὶ τὴν πηγὴν τὴν παρθένον ἐμβιβάζουσι, τῆς δάφνης αὐτὴν στεφανώσαντες. εἰ μὲν οὖν ἡ τὴν πηγὴν εἰσδῦσα παρθένος τὴν παρθενίαν οὐκ ἔψευσται, καὶ τὸ σεμνὸν οὐκ

emebantur : quorum tamen viliſſimum apud omnes pretium fuit, ideo quia virginum auctioni tantùm inhiabant, quæ non niſi immani ære parabantur ; maximè poſt Dianæ fontem & arcum, quibus inclita Artycomis virgines ſuas explorare amat :

Vt quos naſcentes explorat gurgite Rhenus.

Etenim nobilis illa ciuitas eſt clariſſimo Dianæ templo, cuius in medio imago numinis aurea manibus arcum tenens conſpicitur. Scaturiunt ſimulachri ad pedes bullis ingentibus fontes magni fluminis ſtrepitum imitati:

Qui tardè primùm clementi flamine pulſi
Incedunt, leníque ſonãt clangore cachinni,

vt tu affirmares, oculis illos arbitratus. Hi fontes virginem virginalémq; ſcrobem effoſsã indicant : cùm de alicuius pudicitia dubitatur, facto ſic periculo fides arguitur. Lauro coronata caput virgo fonti mandatur: quæ ſi pudicã ſe non mentita eſt, nullúſq; caſtitatẽ eius

imminuerit, manet arcu immoto numen, tacitísque molliter vndis virgo innatat. Si verò Dionæi cuiuspiam aura venti virgineam tædam exstinxit, deditque

Secreto amanti floris vsuram sui;

statim arcu reducto Dea, virgo & virginum custos, sagittam emittere videtur contra illius caput quæ virginitatem simulauit. Infelix sagittæ metu dum caput aquis immergit, vibrata in lenes fluctus vnda strepitu clangente coronam aufert. Hoc ritu omnes à Barbaris coronatæ & fonti permissæ exploratæ sunt. Quæ intacto ab vndis capite iterum coronatæ reuersæ sunt, illas magna pecunia venditas reliquerunt; reliquæ non signati floris triremi redditæ inter mulieres aurum ære, quod dicitur, virgineā lauri coronam barbaris amplexibus permutarūt. His

ἀπο-

ἀποσυλᾶται, τὸ τόξον Ἄρτεμις οὐ τείνει,
τὸ ὕδωρ ἠρεμεῖ, καὶ ἡ παρθένος κούφως
τοῖς ὕδασι φέρεται, τῷ τῆς δάφνης στε-
φάνῳ κατακεκοσμημένη τὴν κεφαλήν.
εἰ δ' Ἀφροδίτης πνεῦμα παρθενικὴν
λαμπάδα κατέσβεσε, καὶ λαθὼν ἔρως
τὴν παρθενίαν ὑπεξέκλεψε, τείνει τὸ τόξον
Ἄρτεμις παρθένος θεὸς κατὰ μὴ παρθένου
τῆς ἐψευσμένης αὐτήν, καὶ βάλλειν δοκεῖ
κατὰ κεφαλήν. ἡ δὲ φθάσει τὸ βέλος, καὶ
τὴν κεφαλὴν τοῖς ὕδασιν ὑποκρύπτεται.
τὸ ὕδωρ ἀνακαχλάζον, ἀφαιρεῖται τὸν
στέφανον. πᾶν οὖν ὅσον τοῖς βαρβάροις
ἐδασμολογήθη παρθενικὸν, ἐκ δάφνης
στεφανωθὲν, τῇ πηγῇ κατεβάπτετο. καὶ
ὅσον μὲν οὐ κατέδυ τὴν κεφαλὴν, ὅσον οὐκ
ἀφῃρέθη τὸν στέφανον, ἠργυρολογήθη πολλοῦ.
ὅσον δὲ τὴν παρθενίαν κατέψευστο, τὴν
στειρήν κατεκληρώσατο, καὶ ταῖς γυναιξὶ
συνηρίθμητο, καὶ χρυσοῦ χαλκὸν ἀντηλ-
λάξατο, ἀντὶ τοῦ δάφνης παρθενικοῦ στεφάνου
παστάδα βαρβαρικήν. οὕτω μὲν οὖν εἶχε τὰ

περὶ τὴν Ἀρτύκωμιν· καὶ οὕτω τῆς τριήρους ἐξεφορτώθη τὰ λάφυρα. καὶ πάλιν ἡ τριήρης τοῖς συνήθεσι κατεπληροῦτο πληρωταῖς· καὶ πάλιν τὸ βάρβαρον ἐφ' ἑτέραν ἐστέλλετο. καὶ ἡμεῖς δοῦλοι βαρβάρων ἐξ ἐλευθέρων εἱλκόμεθα. περὶ δὲ τρίτην ἡμέραν ἐπί τινα λιμένα καταίρομεν ἕτερον· καὶ τὴν τριήρη περὶ τὴν ἤπειρον μεθελκυσάντων ἡμῶν, καὶ ὅλην ταύτην ἐξαψαμένων τοῖς πείσμασιν, ὅλον τῆς νεὼς ἐξέπλει τὸ βάρβαρον, καὶ περὶ τὴν ψάμμον ἐχύνετο, καὶ τὰς γυναῖκας συμμεθελκύσαν, καὶ ὅλην σκηνὴν ἐγγὺς κυμάτων ἐπήξατο, καὶ λαμπρὰν ἡτοιμάσατο τράπεζαν. καὶ μετὰ δὴ πολλὰς τὰς τροφάς, καὶ πότους καὶ βαρβαρικά τινα παίγνια καὶ τἆλλ' ὁπόσα βαρβαρικῶς καὶ ἀσέμνως ταῖς γυναιξὶ κατεχρήσατο, σὺν αὐταῖς γυναιξὶ πρὸς ὕπνον ἐτράπη τὸ βάρβαρον, ὅλαις ἡδοναῖς καταβαπτισθὲν τὴν ψυχήν, καὶ ὅλοις καταμεθυσθὲν τοῖς ἔρωσιν· οὕτω μὲν οὖν εἶχε τὸ βάρβαρον. ἡμεῖς

Artycomide geſtis aliò properantes barbari cùm nos abduxiſſent, præda & ſpolijs oneratam,

Rurſus remiuagam mouent celocem.

Tertia die in alium delati portum, appulſa terræ rudentibúſque firmata naue, egreſſi cum mulieribus ſtatuto proximè fluctus in littore tentorio prandium opiparè fabricarunt. Eſtur ac potatur; tandémque poſt barbara ludorum oblectamenta cum feminis quas indecorè flagitauerant vniuerſi, voluptatibus ebrij, alta quiete compoſti ſunt. Nos

corum ebrietate audaciores facti nauis è fundo nos subduximus. Iámque inquies animus varijs iactabatur discursibus; terra an mari, cum ipsa trireme fugam expedire præstaret; an armis quibus probè instructa erat Græco more armatos illos inuadere, ibíque vincere, aut saltem pugnando cadere satius esset. Hac ambiguitate mentium fluctuantes, dum in diuersa rapiebamur, alius exercitus barbaros somno meróque ac venere sepultos inuasit cepítque. Nos Græca seruitus post barbaram excepit, ex seruis iterum seruos, conseruósque dominorum, & simul captiuos. Ergo gentis nostræ hominibus seruitiū deferre iussi, per medium forum & Daphnipolim Apollini sacrā traducti, miscente lætas

δ' ἐκ πυθμένος τοῦ σκάφους τῇ μέθῃ τῶν βαρβάρων θαῤῥήσαντες, ἑαυτοὺς ἀνηγάγομεν. καὶ μυρίοις κατετυραννούμεθα λογισμοῖς· ἢ τῆς τριήρεος ἀποβῆναι περὶ τὴν ἤπειρον, ἢ σὺν αὐτῇ τριήρει τὰς χεῖρας τῶν βαρβάρων φυγεῖν, ἢ τοῖς ὅπλοις ἑλληνικῶς καθοπλίσασθαι, ὅσα τριήρης φέρει πολλὰ, καὶ τοῖς βαρβάροις κατεπιτίθεσθαι, ἢ νικᾶν, ἢ πίπτειν μαχομένους ἡμᾶς. ταῦθ' ἡμεῖς, καὶ στρατὸς ὁπλίτης περὶ τὴν ἤπειρον τοῖς βαρβάροις κατεπιτίθεται, ὅλοις ὑπνοῦσιν, ὅλοις καταβεβακχευμένοις ἐξ οἴνου καὶ ἔρωτος. καὶ τὸ μὲν βάρβαρον ἅπαν ἄλλο κατελῄζετο. ἡμεῖς δ' ἑλληνικὴν βαρβαρικῆς δουλείας ἀντηλλασσόμεθα, καὶ δοῦλοι πάλιν ἐκ δούλων γεγόναμεν, καὶ βαρβάροις δεσπόταις γεγονότες ὁμόδουλοι, καὶ αὐτοῖς δεσπόταις συναιχμαλωτιζόμενοι, ὁμογλώττοις Ἕλλησιν ἐδουλογραφούμεθα. καὶ περὶ μέσην ἀγορὰν καὶ πόλιν Δαφνήπολιν Ἀπόλλωνος ἱερὰν, στρατηγὸς καὶ στρατὸς ἐφ' ἡμῖν

θριαμβεύει τὰ ἐπινίκια, καὶ ἡ πόλις κροτεῖ καὶ ἀλαλάζει χαρμόσυνα. καὶ πάντες ἡμεῖς ἡ λεία, ὃ λάφυρον ξένως ἀφελκόμεθα μέχρις Ἀπόλλωνος ἱεροῦ, ὃ δὴ θαῦμα φέρει πόλις Δαφνήπολις. ἅμα γοῦν τὸ πᾶν ἐπὶ τὸν βωμόν· κἀγὼ τοὺς πόδας περιχυθεὶς τοῦ θεοῦ, καὶ ὅλους πλύνων τοῖς δάκρυσι, σὺ στῆσον, Ἄπολλον, εἶπον, τὸν κλύδωνα, συμπαθὲς εὔδιον ἀντιπνεύσας τοῖς ἐμοῖς δυστυχήμασι. Διὸς κήρυξ σοῦ πατρὸς ἧκον ἐξ Εὐρυκώμιδος ἐς Αὐλίκωμιν, ἐκ δάφνης ταύτης τῆς σῆς τὴν ἐμὴν ταύτην ἀθλίαν στεφανωθεὶς κεφαλήν· ἀλλ' Ἔρως σὸς ἀδελφός, ῥόδοις ταύτην ἀντεστεφάνωσεν. οὗτός μοι τὴν παρθενίαν ἐσύλησεν, ἢ μᾶλλον ἐρωτικῶς ἀντηλλάξατο, Ὑσμίνην παρθένον ἀθλίαις ταύταις ἀντιπαραδοθεὶς μοι χερσίν. ἣν καὶ Ποσειδῶν παρθένος ἀνήρπασεν ἐξ ἐμῶν τούτων ἀθλίων χειρῶν καὶ μέσης ψυχῆς, ὅλῳ πνεύματι πνεύσας, ὅλῃ θαλάσσῃ τῷ κλύδωνι. σὺ δέ μοι στῆσον τὸν κλύδωνα, τῷ

victoriæ plauſúſque voces tota ciuitate, inter ducis exercitúſque triumphos ad Apollinis templum, quo vrbs illuſtris eſt, victorum præda ſpoliúmque deducti ſumus. Statim circum aram omnibus effuſis, ego numinis pedes, quos amplexu fatigabam, lachrimis vbertim manantibus rigans, Apollo, inquiebam, te hanc tempeſtatem ſiſtere, te mei miſertum leni Zephyrorum anima calamitates temperare meas decet. Ego patris tui nuntius Aulicomidem veni; hac tua lauro infeliciſſimum caput redimitus, quod frater tuus Cupido roſa coronauit: ille

Ereptæ ſpolium virginitatis habet:

aut potius amatorijs commutauit nequitijs, puellam Iſmenem mihi tradens, quam intactam manibus ab meis medióque è pectore raptam ventorum velut agmine facto, totóque mari & ſtridentibus vndis abſtulit. Te hac tempeſtate ſedata, aut

Ismenem mihi restituere, aut me vbi vbi locorum est ad illam abducere oportet. Ego ex libero seruus, imò ter seruus ex prçcone factus sum; Amoris, Barbarorum, ac istius denique vrbis ciuium. Hæc dicentem & ad laurum tripodémque cum reliquis ductum numinis dictio sortésque iterum seruum autumarunt: rursúsque seruus, ac tertiò seruire iussus, dominum cui seruitutis meæ obsequium sors & oraculum tribuerant, ad ædes sequutus sum; statímque ingressum hera,

Quis essem, qua patria, & quibus parentibus ortus,

interrogauit. Ego seruus tuus sum, inquam, ô domina. Cætera si quæris, tragœdiam postulas. Me sibi tropæum fortuna fixit. Ego laruale simulachrum, deorum ludibrium, & Eumenidum mensa sum. Hæc dicens, solo quod lachrimis madebat,

τὴν Ὑσμίνην παράθου μοι τῇ χειρί· ἢ κἀμὲ πρὸς αὐτὴν Ὑσμίνην ὅλον μετάγαγε. δοῦλος ἀντ' ἐλευθέρου γεγένημαι, καὶ τρίδουλος ἀντὶ κήρυκος· Ἔρωτι δουλογραφηθεὶς τὰ πρῶτα, καὶ βαρβάροις τούτοις, καὶ τρίτον τοῖς ἐκ τῆς σῆς ταύτης Δαφνηπόλεως ἥρωσι. ταῦτ' ἔλεγον, καὶ τοῖς αἰχμαλώτοις συνεφελκόμενον περὶ δάφνην καὶ τρίποδα. καὶ χρησμός με καὶ κλῆρος πάλιν δουλογραφεῖ. καὶ πάλιν τρίδουλος καὶ δοῦλος ἐγώ, καὶ τῷ δεσπότῃ περὶ τὴν οἰκίαν μεθέλκομαι, ᾧ χρησμὸς καὶ κλῆρος τὴν ἐμὴν ἐχαρίσατο δούλωσιν. ἡ δέ μοι δέσποτις φησί,

τίς, πόθεν εἷς ἀνδρῶν, πόθι τοι πόλις,
ἠδὲ τοκῆες;

ἐγὼ δ' ἀλλ' ὦ δέσποινα δοῦλος ὡς. τὰ δ' ἄλλα ζητοῦσα μαθεῖν, ὅλον δρᾶμα ζητεῖς καὶ ὅλον τραγῴδημα. παράδειγμα τύχης ἐγώ, νερτέρων σκιά, δαιμόνων παίγνιον, ἐριννύων τράπεζα. καὶ λέγων τοὺς ὀφθαλμοὺς ἐπεπήγειν τῇ γῇ, καὶ

ὅλην τοῖς δάκρυσιν ἔβρεχον. ἡ δ᾽, ἀλλ᾽ ἐπίσκηπτε, λέγουσα, μὴ φείσῃ μηδενὸς, ἀλλὰ πάντ᾽ ἐκκάλυπτε λέγων. ἐμοῦ δ᾽ ἐπέλιπεν ἡ φωνὴ, καὶ ἡ γλῶσσα ἐπῴχετο, καί μου τῶν ὀφθαλμῶν κατὰ ποταμοὺς ἀπέῤῥει τὸ δάκρυον. ὁ δέ μου δεσπότης, (περιῆν γὰρ καὶ αὐτὸς) καιρὸς ἀρίστου, φησὶν, ἀνακλιθῶμεν ἐπὶ τὸ δεῖπνον, καὶ περὶ τράπεζαν καὶ μέσας τροφὰς τῇ γλώσσῃ τοῦ δούλου καιρὸν χαρισώμεθα. τοίνυν παρετίθετο τράπεζα. καὶ οἱ δεσπόται μὲν ἀνεκλίνοντο. ἐγὼ δὲ παρειστήκειν δουλοπρεπῶς. καὶ πάλιν ἡ δεσπότις πρός με φησίν· ἰδού σοι καιρὸς κατὰ μέρος ἡμῖν τῇ γλώσσῃ καταζωγραφῆσαι τὰ σά. ἐγὼ δὲ καὶ μόνον ἐπιμνησθεὶς, ἤρεμον ἐβρυχησάμην ἐγκάρδιον· πολλὰ δὲ τῶν ὀφθαλμῶν κατέσταξα δάκρυα· φείσασθε, λέγων, δεσπόται, δυστυχημάτων ἐμῶν, μὴ τὴν τράπεζαν εἰς κοπετὸν μεταβάλω, καὶ πένθους ὑμῖν κρατῆρα κεράσωμαι. ταῦτα λέγων οὐκ ἔπειθον· καὶ μὴ πείθων,

ſixos oculos tenebam. Illa magis vrgens, nullam non rerum mearum remetiri atque omnia porrò exordiri iuſſit.

Reliquit ora vox, & aſperis ſtetit
Turbata lingua faucibus.
Vtque incitato flumen impetu ruens
Torrente ſæuit alueo;
Sic vda mæſtis defluens genis aqua
Vultus madentes obruit.

Herus qui aderat, Prandij, inquit, tempus eſt, decumbamus; inter epulas temporis aliquid iſtius narrationibus daturi. Appoſita itaque menſa, vt ſeruum decuit, adſtiti; iterúmque domina res meas ordiri me voluit. Ego vt primùm harum meminiſſe oportuit, cruciabilem imo de pectore ſuſpiritum ducens, queſtúſque lamentabiles interfremens, manantibus vbertim lachrimis, illos obteſtatus ſum, parcerent duriſſimis caſibus meis, ne conuiuij lætitia in luctum verſa triſtitiæ poculum omnibus propinarem. Cùm non perſuaſiſſem,

hoc vsurpaui:

Conditio serui nempe semper pessima est:
Quæ non oportet, victa per vim sustinet.

339 Mihi patria Eurycomis, Themisteus & Diantea parentes: an diuites & in ciuitate sua primi, taceo. Diasiorum, quæ splendida celebritate peraguntur, tempus erat. Ego laureatus, sa-
346 cram vestem, calceúmque, omnia denique præconis insignia indutus, Aulicomidem veni. Ibi Amor, Ismene formosissima virgine & Sosthenis viri inter suos nobilissimi filia, illicio Cu-
348 pidinum vsus, me vicit. Itaque Veneri mancipatus cum puella eiúsque patre vrbi me meæ reddidi: Cætera ita subsequuta sunt. Puellæ pater inter copiosa fercula aliud filiæ connubium nuntiauit: nos illud læti fugientes acerbissimam in seruitutem incidimus; vtque iactari solet, ex fumo in

αἲ αἲ τὸ δοῦλον ὡς κακὸν πεφυκέναι, φημὲ· τολμᾷ γὰρ ἃ μὴ χρὴ τῇ βίᾳ νικώμενον. ἐμοὶ πατρὶς πόλις Εὐρύκωμις, πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια. εἰ δ' εὐτυχοῦντες, εἰ τὰ πρῶτα φέροντες τῶν ἐν Εὐρυκώμιδι, οὐκ ἐμόν ἐστι λέγειν. καιρὸς Διασίων τῇ πόλει, καὶ πανήγυρις λαμπρὰ τὰ Διάσια. ἐγὼ δὲ δάφνῃ στεφανωθεὶς, χιτῶνι κατακοσμηθεὶς, ἀρβύλῃ σεμνῇ, καὶ ὅλον περιδυθεὶς τὸ κηρύκιον, κῆρυξ ἧκον εἰς Αὐλικώμιδα. καί μου τὸν στέφανον Ἔρως ἐσύλησεν, Ὑσμίνῃ παρθένῳ περικαλλεῖ Σωσθένους θυγατρὶ, τὰ πρῶτα τῶν ἐπ' Αὐλικώμιδι φέροντος, ἀγκίστρῳ χρησάμενος· καὶ δοῦλος Ἀφροδίτης εἰς τὴν ἐμὴν Εὐρύκωμιν ἀνθυπέστρεψα σὺν αὐτῇ παρθένῳ, καὶ τῷ ταύτης πατρί. τὰ δ' ἐφεξῆς ὁποῖα; Σωσθένης πατὴρ Ὑσμίνης ἐν μέσῃ τραπέζῃ καὶ δείπνῳ πολυτελεῖ, γάμον ἕτερον κηρύττει τῆς θυγατρός· ὃν ἡδέως φθέγγοντες ἡμεῖς, πικρῶς ἁλισκόμεθα, εἰς πῦρ ἐκ

καπνῶν ἐμπεσόντες, κἀξ ὄμβρων εἰς θάλασσαν. ναῦς ὑπηρέτης ἡμῖν τῇ φυγῇ, πρὸς τὸν Ποσειδῶν ἀντιπνεῖ, καὶ θῦμα ζητεῖ, καὶ τὸ θῦμα κληρούμεθα. καὶ ἦν ὁ κλῆρος ἐπὶ τὴν Ὑσμίνην πεσών. ἡ δέ μου τῶν χειρῶν βιαίως ἐκσπασθεῖσα, κατὰ κυμάτων ὠθεῖται, καὶ τὸ μὲν ναυτικὸν ἐξάγει ταύτην τοῦ κλύδωνος, ἐμὲ δ᾽ εἰς μέσας θαλάσσας ἐμβάλλει καὶ κλύδωνα, καὶ θρῆνον, καὶ κωκυτόν· ἃ δὴ μὴ φέρον τὸ ναυτικὸν, τῆς νεὼς περὶ τὴν χέρσον ἐκσφενδονᾷ με, καὶ τὸ βάρβαρον τοῦτο τὸ νῦν συναιχμάλωτον, αἰχμάλωτον ἄγει με. ὅθεν ἐκ τῆς ταύτης πάλιν ᾐχμαλωτίσθην χειρὸς, δοῦλος ἐκ δούλου γενόμενος. ταῦτ᾽ ἔλεγον, καὶ κατεβρεχόμην τοῖς δάκρυσιν. ἡ δέ μοι δεσπότις φησίν· ὅλον δρᾶμα τὰ κατά σε, καὶ ὄντως τραγῴδημα· τὰ δ᾽ εἰς δεσπότας ἡμᾶς, εὐτυχεῖς. ἐγὼ δὲ, ὅτι δεσπότας μᾶλλον ἔχω δυστυχῶ, πρὸς τὴν δέσποιναν ἔλεγον·

ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,

ignem, ex imbre in mare. Opera nauis vtebamur, quam fœda & aduersa tempestas agitauit. Victima Neptuno sorte quæritur; illáque super Ismenem cadit. Infelix virgo, manibus ab meis auulsa, fluctibus mandata est. Is me casus atro lamẽtorum luctuúmque mari mersit: quorum impatiens, libera iam tempestate, nautica plebes naui exoneratum reliquit. Ibi demum repertum Barbari illi, quos captos mecum habes, abduxerunt; vsque iterum seruus ex seruo tibi prædæ cessi. Hæc cum lachrimis dicta danti, Verè, respondit domina, casus tuos, & quidquid tibi accidit, tragœdiam censere potuisti: hoc solo felix, quòd nos heros nactus es. Imò, inquam, infelix; etenim

Gustare nulla quisquis assueuit mala,

Fert, sed dolet ceruice supposita iugo.

Excepit iratus dominus: Quamuis patria nobilis, splendidum genus, & plurima domi ac pretiosa supellex est, horum tamen orbitate omnium nobis seruis. Sed neque illud proderit, quòd castitati & pudicitiæ Veneris Amorísque lubentias, & rosarum coronamina laureis prætulisti. Itaque modestus esto, & modestiam, si sapis, ama, ne coactus illam discas, sítque tibi præceptoris loco domini manus. Tacui flentibus fixísque in terram oculis, dum me minitabiliter herus dictis sæuis increpuit. Soluto conuiuio, ego qui laureatus Aulicomidem nauigaueram, qui curru illam ingressus saliaribus Sosthenis epulis accubuerã,

φέρει μὲν, ἀπαιτεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ. καὶ ὁ δεσπότης φησίν· εἰ μέν σοι πατρὶς περιφανὴς, καὶ γένος λαμπρὸν, καὶ τὰ κατ' οἴκους πολυτελῆ, νῦν τούτων ἔχεις οὐδέν· δοῦλος γὰρ εἶ καὶ δοῦλος ἡμῶν. εἰ δὲ τὴν σωφροσύνης καὶ παρθενίας Ἀφροδίτην ἀντηλλάξω καὶ Ἔρωτα· εἰ δὲ καὶ στεφάνων δάφνης παρθενικῆς στέφανον ἐκ ῥόδων ἐρωτικόν· μή σοί γε τὸ ἀπὸ τοῦδε, ἀλλὰ κτῆσαι τὸ σῶφρον καὶ τὸ φιλόσωφρον ἀγάπησαι· ἵνα μὴ τὴν σωφροσύνην ἐξ ἔργων μάθῃς αὐτῶν, καὶ χρέα δεσπότου κτήσῃ διδάσκαλον. ταῦθ' ὁ δεσπότης. ἐγὼ δ' ἐσίγων, καὶ τοὺς ὀφθαλμοὺς εἶχον ὁρῶντας εἰς γῆν, καὶ ὅλους δακρύων μεστούς. καὶ οὕτω πέρας τὰ τῆς τραπέζης ἐδέχετο. καὶ ὁ τῶν Διασίων κῆρυξ Ὑσμινίας ἐγὼ, ὁ τῇ δάφνῃ στεφανωθεὶς, ὁ λαμπρῶς τὸ πρῶτον πλεύσας ἐξ Εὐρυκώμιδος, ὁ περὶ τὴν Αὐλίκωμιν βασιλικῶς ἐφ' ἅρματος ἱππασάμενος, ὁ πολυτελῶς ἐπὶ τῆς τοῦ Σωσθένους λαμπρᾶς τραπέζης ἀνακλιθεὶς,

ἐπὶ δουλικῆς τραπέζης νῦν ἀνακέκλιμαι σὺν ὁμοδούλων χορῷ, καὶ τὰ τῶν δούλων ὑπηρετῶ, καὶ ὅλος δοῦλος εἰμί, καὶ ὅλην δουλείαν ἐνδέδυμαι, καὶ ὅλην δουλοπρέπειαν ὑποκρίνομαι, ὅλον ἀποδυθεὶς (ὦ Ζεῦ καὶ θεοί) τὸ κηρύκιον, καὶ ὅλον τὸ ἐλεύθερον. οὕτω μὲν οὖν εἶχε τὰ κατ' ἐμέ, καὶ οὕτως ἐδούλευον. ἀλλ' οὐδ' ἐν μέσοις οὕτω δεινοῖς Ὑσμίνης λήθην παρθένου φίλης ἐμῆς ἔπαθον· οὐ μὰ τὸν φοβερὸν Ἔρωτα τὴν τοσούτων δυστυχημάτων πηγήν. ὁ τῶν Διασίων ἧκε καιρός· καὶ κἂν Δαφνήπολις οὐ τιμᾷ τὰ Διάσια, κἂν οὐκ ἄγει πανήγυριν· ἀλλ' ἐμὲ οὐ διέλαθε, καὶ τὴν μνήμην ἀνῆψε, καὶ τὸν θρῆνον ἐξήγειρεν. ἀλλ' ἡ μοι τύχη καὶ τούτων ἐφθόνησεν. ἐθρήνουν, ἀλλὰ τὸν θρῆνον ὑπέκλεπτον· ἐδάκρυον, καὶ τοὺς ὀφθαλμοὺς ὑπεκρυπτόμην τῶν δεσποτῶν. τὴν ψυχὴν εἶχον καὶ φωνὴν καὶ γλῶσσαν πρὸς δάκρυα, δοῦλος ὁ κῆρυξ ἐξενολογούμενος, ὅλην ἀνεπλαττόμην τῷ νῷ τὴν Εὐρύ-

seruiles interficiebam cibos, cum cæteris vernulis idem obsequium præstans, similiter seruus, imò ipsissimam seruitutem indutus; quam fingere me oportuit, omnibus (Iupiter diique omnes!) præconij & libertatis insignibus amissis. Sed neque diuersi hoc expediuerunt casus; non per metuendum Cupidinem, & semper nouam malorum meorum sobolem; vt immemoris & madida memoria Ismenes obliuisceretur. Interea non me latuit instans Diasiorum tempus; quæ quamuis Daphnipolis non agit, neque solenni pompa celebrat, accensa tamen recordatione mens luctum excitauit, quem fortunæ scæuitas & inuidia præripuit. Etenim madentes lachrymis oculi dominorum aspectum cauebant: ita mente, voce & lingua singulis luctui traditis, obuersabātur animo infelicissimi prçconis cum Eury-

comide Aulicomis, Softhenis hor-
tus, fons, dulce ſtridentes aues, au-
rea aquila, vinum fundens Iſmene &
blanditias ſerens, pedem pede clam
tangens, poculis ludens & alijs ſolitis
nequitijs; cùm complexa ſomno cor-
pora ſuaui quiete dicantur. Quæ om-
nia reuoluens, Iſmenem chariſſimam
voce tenui & admodum diminuta vo-
cabam. Ecce tibi illam, inquit Rho-
dope; habes me Iſmenem dominam
tuam, ſed Amori obſequentem. Ego
tacitus terga vorti, & Iſmenes, quam
animo ſemper intuebar, amorem ve-
neratus cubiculo me extermina-
ui. Cætera, quibus me nequitijs il-
la vrgeret aſſiduè, quibus ad do-
minum calumnijs miníſque & di-
ctis ſæuis, quo capitis, manuúmque
geſtu, diſſimulabo ſilentio, ne ſur-
ſum adrepens Amor linguæ opera

κωμιν, τὴν Αὐλίκωμιν, τὸ κηρύκιον, τὸν τοῦ Σωσθένους κῆπον, τὸ περὶ τὸν κῆπον φρέαρ, τὰ παρὰ τούτῳ πληνά, τὸν κατάχρυσον ἀετόν· τὴν Ὑσμίνην κιρνῶσαν, ἐρωτικῶς μοι προσπαίζουσαν, τοῖς ποσί μου συμπαίζουσαν, ταῖς κύλιξι καταπαίζουσαν· καὶ τἆλλ' ὁπόσα τότε (βαβαὶ τῶν ὡς ἐν ὀνείροις ἐρωτικῶν ἡδονῶν) κατεπαίζομεν. καὶ ἐπὶ πᾶσι τούτοις, Ὑσμίνη μοι φίλη, λεπτὸν ἐψιθύριζον. οἷς μέσοις ἡ δέσποτις ἄφνης ἐφίσταται, καί μοι φησίν· ἰδού σοι παρίσταται· ἔχεις Ὑσμίνην ἐμέ, δέσποιναν σὴν καὶ δούλην ἐξ ἔρωτος. ἐγὼ δ' οὐδὲν εἰπών, εὐθὺς ἀπεπήδησα, καὶ μόνης Ὑσμίνης ἐτίμων τὸν ἔρωτα, καὶ ὅλην ἐνοπλειζόμενον αὐτήν. ὅσα μὲν οὖν μοι συνέπαιζεν ἡ δέσποτις ἐρωτικῶς, καὶ κατεπετίθετο συνεχῶς, καὶ ὅσα παρὰ τῷ δεσπότῃ κατελοιδόρει μου, καὶ ὅσα με κατηπειλεῖτο καὶ χειρὶ καὶ γλώσσῃ καὶ κεφαλῇ, οὐ τῆς ἐμῆς ἂν εἴη ταῦτα γλώσσης λαλεῖν, ἵνα μὴ λαθὼν ἔρως τῇ γλώσσῃ

καταπορνεύσῃ μου τὴν ψυχὴν, ἢ καὶ τὴν γλῶσσαν αὐτήν, ἣν Ὑσμίνῃ φυλάξω παρθένῳ μεστὴν χαρίτων ἐρωτικῶν, καὶ μέλιτος Ἀφροδίτης· οὗ κατακόρως ἡμεῖς τῇ γλώσσῃ μόνῃ κατετρυφήσαμεν. καιρὸς οὖν ἑορτῆς, καὶ λαμπρὰ πανήγυρις Δαφνηπόλει, καὶ παρθένου Δάφνης φυγὴ, τὰ τῆς ἑορτῆς· καὶ φύσις ὁμωνύμου φυτοῦ, καὶ ἐπὶ πᾶσιν Ἀπόλλωνος ἑορτὴ καὶ πανήγυρις· παρθένος γὰρ ἡ Δάφνη, καὶ παρθένος καλή. ταύτης Ἀπόλλων ἐρᾷ, καὶ ἡ παρθένος φεύγει τὴν συμπλοκὴν τοῦ θεοῦ, καὶ ἀπαναίνεται τὸν ἔρωτα. τὴν γῆν δυσωπεῖ. ἡ δ᾽ ὑπεξάγει τὴν κόρην, καὶ φεύγουσαν κρύπτει, καὶ παρθένον τηρεῖ· καὶ φυτὸν ὁμώνυμον ἀντιδίδωσιν. Ἀπόλλων τοῦ φυτοῦ στεφανοῦται, καὶ παραμυθεῖται τὸν ἔρωτα. παραζεῦ δὴ τῇ Δάφνῃ βωμὸς καὶ πόλις ὁμώνυμος. Ἀπόλλωνος ὁ βωμὸς, καὶ ἡ πόλις Δαφνήπολις. ταῦτα δὴ ταῦθ᾽· πανήγυρις Δαφνηπόλει, καὶ κήρυκες στεφανῖται χρησμῷ λαμβάνοντες τὸ κηρύκιον· Ἀπόλ-

mentem corrumpat, aut ſaltem ipſam linguam quam Iſmene cuſtodiam; vel ideo quia

Eius purpureis ſacrum labellis
Nectar hauſerit, hoc polita quondam
Dum Cupidineo lepôre plena,
Melleo Veneris fluénſque rore,
Optato ebria fluctuabat ore.

Dum hæc aguntur, Daphnipolis feſtos qui inſtabant dies magnificè actura ſe parabat. Daphnes fuga & in eiuſdem nominis arborem mutata, feſti quod Apollini dicatur, origo eſt. Daphnem pulcherrimi floris & ſeruati pudoris virginem Apollo deperibat; illa numinis nuptias amorémque aduerſata Telluri ſupplex; quæ miſerta fugientem occuluit, & ſeruato virginitatis honore laurum inſequenti deo reddidit. Inde laureatus Apollo hac arbore infelices primi amoris euentus ſolatur. Proximum arbori Phœbi templum, ciuitáſque de virginis nomine Daphnipolis dicta. Hæc feſto cauſam præbuere: coronati præcones acceptum oraculo præconiũ obeunt,

eóque tempore herum meum Arty-comidem ire oportuit. Ille statim lauro coronatus per medium forum & theatrum splendido agmine stipatus incessit, frequentis populi circulo septus, & inlustri comitatu; his denique omnibus quæ me quoque aliquando luserant: quorum hoc temporis momento recordatus inter gratas festi & publicæ lætitiæ voces luctu lamentóque implebar: ita memoria ménsque velut graui tonitru procelláque sideris percussæ corruerant. Herus interea sacra veste calceóque ornatus, larem suum successit, nobili & magnifico comitatu, quo simili aliquando (papæ reciprocas sortis vices!) Eurycomidem perueneram: móxque paratæ festiuiter mensæ cum domina

λων χρησμοδοτεῖ, καὶ κήρυκα τὸν ἐμὸν δε-
σπότην ἀνηγόρευσε, καὶ κήρυκα λαμ-
πρὸν εἰς Ἀρτύκωμιν. ὁ δὲ στεφανοῦται τῆς
δάφνης· διὰ μέσης ἀγορᾶς πομπεύει
λαμπρᾶς, διὰ μέσου θριαμβεύει θεάτρου.
καὶ πλῆθος περὶ τὸν κήρυκα, καὶ πομπὴ
λαμπρὰ καὶ ποικίλη, καὶ τἄλλ᾽ ὁπόσα
κἀμὲ κατέπαιζε τὸ κηρύκιον. ὧν πάντων
μεμνημένος ἐγὼ, μέσῳ λαμπρῷ θεάτρῳ
καὶ λαμπρᾷ τελετῇ πλήρει χαρίτων καὶ
ἡδονῆς, θρήνων ἐπληρούμην καὶ κωκυ-
τῶν· καὶ ὡς ἐν κεραυνῷ τῇ μνήμῃ τὴν
ψυχὴν κατεκεραυνοβολούμην πυκνά.
οὕτω τοίνυν, οὕτω λαμπρῶς, οὕτω πο-
λυτελῶς καὶ φιλοτίμως ὁ κῆρυξ καὶ δε-
σπότης ἐμὸς περὶ τὴν οἰκίαν ἐγένετο,
δάφνης ἐστεφανωμένος, χιτῶνι κεκοσμη-
μένος λαμπρῷ καὶ πεδίλῳ σεμνῷ. μετ-
γοῶ δὴ τὴν λαμπρὰν ἐκείνην πομπὴν,
ἣν κἀγώ ποτε (βαβαὶ τῆς τύχης) ἐπόμ-
πευον εἰς Εὐρύκωμιν, ὁ κῆρυξ σὺν αὐτῇ
μοι δεσποίνῃ, περὶ λαμπρὰν ἀνακλίνεται

τράπεζαν, δάφνῃ τὴν κεφαλὴν ἐστεφανωμένος, καὶ κῆρυξ ὢν ἐκ κορυφῆς καὶ μέχρι ποδῶν. περὶ δὲ μέσην τὴν τράπεζαν ἡ δεσπότις φησί· κῆρυξ, σὺν μὲν ταύτην ἐμὴν κεφαλὴν Ἀπόλλων λαμπρῶς ἐστεφάνωσε, κήρυκά σε λαμπρὸν στελλόμενος εἰς Ἀρτύκωμιν, καὶ κήρυκα λαμπρᾶς Ἀπόλλωνος ἑορτῆς. καί σοι τὰ περὶ τὴν ὁδὸν εὖ διάθοιτο. δοῦλος δ' ἐστὶν ἡμῖν, ὃν αἰχμή σοι καὶ γυναία χεὶρ ἐκτήσατο, μή σοι συνέποιτο πρὸς Ἀρτύκωμιν. δοκεῖ γάρ μοι καὶ τὰ ναὶ συνετὸς, καὶ τῇ γλώσσῃ σοφὸς, τὸ ὅλον συνέχων τὸ ἐπισκήνιον, τὸ συνεχῶς θρηνῳδὸν καὶ κοπτόμενος. δέδοικα γοῦν μή τι σοι νεανιεύσηται τῶν οὐκ ἀγαθῶν, ὅτι καὶ δοῦλον τοῖς δεσπόταις πολέμιον. καὶ ὁ δεσπότης φησίν· ἀλλὰ κατὰ τὴν τραγῳδίαν,

χρηστοῖσι δούλοις συμφοραὶ τῶν δεσποτῶν
κακῶς πίτνονται.

ἡ δέ, ἀλλὰ χρηστοῖς, φησὶν ἡ τραγῳδία. ὁ δὲ καὶ κῆρυξ γεγονέναι τερατολογεῖ. καὶ

accubuit, omnibus præconij ornamentis à capite ad pedes vſque inſtructus. Medias inter epulas Rhodope dominũ his verbis interpellat: Domine præco, Apollo qui tuum hoc meum caput lauro coronauit, qui te ſui præconem feſti Artycomidem deſtinauit, faxit ille tibi proſperum iter, ac viam curet. Cæterùm auctor tibi ſum, ne ſeruus ille, quem bello captum poſſides, te ſequatur: equidem animi prudens & linguæ parcus eſt; ſed contracto ſupercilio ſemper tetricus perpetuo luctu ſqualet. Ita me metus inceſſit, ne cuiuſquam tibi illætabilis cauſam præbeat. Præterea infeſtum dominis eſt omne ſeruorum genus. Neſcis illud tragœdiæ? inquit dominus:

Hæc magna ſeruis optimis calamitas,
Cùm res heriles peſſimè afflictæ cadunt.

De bonis, reſpondit Rhodope, loquitur: verùm ille præconium iactat, &


genus ac patriam, illustria multa denique alia nugator perhibet. Conuersus ad me herus: Tu quoque aliquando præco fuisti & capite sic coronato?
300 Accipe, ô domine, inquam, æquis hæc auribus: & si quid vltra modestiam aut temerariè dictum tibi videatur, boni consule. Ego certè sacro calceo ornatus, ista tua splendidiorem tunicam indutus, Iouis hominum deorúmque parentis præco fui. Hoc verò esse potuit, excepit dominus, cùm liber esset; quamuis à Barbaris in seruitutem postea abductus fuerit: nam & fortunæ arbitrio humana negotia, non consilio reguntur. Itaque si comitem itineris illum habuero, fortè non inutilis erit. His dictis cœna perfunctus munus suum obire pergit: rursúsque arrecta ciuitas

-γύος τὴν πατρίδα λαμπρολογεῖ, καὶ ἄλλα πολλὰ καταγλωσσαλγεῖ. καὶ ὁ δεσπότης πρός με φησίν· εἰ κῆρυξ, ὡς εἴρηκας, γέγονας, οὕτω δὴ καὶ σὺ κατ' ἐμὲ τὴν κεφαλὴν ἐστεφάνωσαι. ἐγὼ δέ, ἀλλὰ σύ μοι δέσποτα κῆρυξ, φεῖσαι γλώσσης ἐμῆς οὕτω προπετῶς κινουμένης καὶ ἀναιδῶς. ἀληθῶς καὶ τοὺς πόδας κεκόσμημαι, καὶ ποδήρη χιτῶνα τουτουῒ λαμπρότερον περιδέδυμαι. ὅτι καὶ κῆρυξ Διὸς πατρὸς ἀνδρῶν τε θεῶν τε· σὺ δέ μοι σύγγνωθι δέσποτα. καὶ πρὸς τὴν δεσπότιν ὁ δεσπότης φησίν· ἴσως ποτ' ἦν κῆρυξ οὗτος ἐλεύθερος ὤν, κἂν βάρβαρος χεὶρ εἰς δουλείαν μετήγαγε·

τύχη (γὰρ) τὰ θνητῶν πράγματ', οὐκ
εὐβουλία.

εἰ γοῦν μοι συνέψαιτο περὶ τὴν Αρτύκωμιν, ἴσως οὐκ ἀσυντελὴς ἔσται μοι τῷ κηρύγματι. ταῦτα εἶπε, καὶ τῆς τραπέζης ἀνέστη· καὶ πρὸς τῷ λειτουργήματι γέγονε. καὶ πάλιν ἡ πόλις ὀρθή· καὶ


πάλιν λαμπρὰ προπομπὴ, καὶ πάλιν πανηγύρεις, καὶ πάλιν ᾠδαὶ, καὶ τἄλλ᾽ ὁπόσα κοσμοῦσι τοὺς κήρυκας.



ΒΙΒΛΙΟΝ θ'.

ΟΥΤΩ τοίνυν, οὕτω λαμπρῶς τὴν πρὸς τὴν Αρτύκωμιν ἐξεστελλόμεθα· καὶ παρὰ ταύτην ὁ κήρυξ ἐγένετο. καὶ πάλιν λαμπρὰ προπομπή· καὶ πάλιν ὄχλος καὶ θρίαμβος, κόσμος ἀγυιῶν, καλλώπισμα ἀγορῶν, παρθένων στεφάνωμα. περὶ γὰρ δὴ τοῦτο τὸ μέρος Αρτύκωμις εὐτυχεῖ, παρθενίαν τιμῶσα, καὶ βωμὸν Αρτέμιδος παρθένου, κόσμον ἔχουσα κεφαλαίῳ. κυμβάλων πλῆθος καταθέλγον τὴν ἀκοήν· παστάδων καλλωπισμὸς, ἡδύνων τοὺς ὀφθαλμούς· ῥόδωνσα λαιμοί, καὶ πᾶς εὐώδης καπνὸς εὐφραίνων τὴν ὄσφρησιν· καὶ πλῆθος ῥητόρων λαμπρῶν, ὑφαίνον

illum nobili comitatu proſequuta, lætitia cantúque & his omnibus quæ præconum honori dantur, perſonabat.



LIBER NONVS.

ITA nos Artycomidem profectos, ſtatim quàm ad illam peruenimus, illuſtri comitatu iterum & quo potuit plauſu populus excepit. Quid memorem platearum cultus, vicorum ornamenta, & virgines verno florentes coronamine? Hac enim maximè laude felix Artycomis cenſetur, quia caſtitatem honore proſequitur, & Dianæ virginis templum præcipuum vrbis decus poſſidet. Omitto gratiſſima auribus

Cy●bala, quæ feſtos concrepuere ſonos:

præterea tota vrbe paratas viſu iucundiſſimas porticus, roſarum ſparſiones, & fragrantem ardentium aromatum fumum; præter ingentem Rhetorum qui ingredientem

laudauerunt, turbam. Hos inter triumphos herus meus superbissimo gestu ad cælos vsque in arduum elatus supercilium, tamquam ipse Apollo, grandi gradu & non æquis cum cæteris passibus incedebat. Ego plenis lachrymarum, quæ in mediam vsque animam stillabant, oculis, capite in terram, imò ad ipsos inferos deiecto, rerum præteritarum memoria mæstissimus sequebar. Interim ciuitatis præcipui nuntium hinc inde ad se trahentes, hospitio excipere satagebant, prorsus vt exortum inter illos hoc nouum & inusitatum quispiam certamen intuitus, vulgaris, non inepti, dicti meminisset;

Optima est hæc contentio inter homines.

Victor tandem Sostratus curru ad ædes ductum honore multo, & eo prorsus modo quo me quōdam Sosthenes, si Ismenem demas, excepit: cuius rei grauissimā animo meo recordationem

τοῦ

τὸν εἰσιτήριον. ὁ μὲν οὖν δὴ δεσπότης ἐμὸς, ἐν μέσῃ ταύτῃ λαμπρᾷ προπομπῇ καὶ ποικίλῳ θριάμβῳ καὶ πολυτελεῖ, καὶ οἷα Ἀπόλλων αὐτὸς ἐθριάμβευσεν, ἀνὰ μακρὰ βιβὰς ὥδευεν, οἷον ὑπερνεφέλῳ τῷ σχήματι, ὀφρὺν ἐπαίρων μέχρις ἐς αὐτὸν οὐρανόν. ἐμὲ δ᾽ ἡ μνήμη μέχρις ἐς αὐτὸν ᾅδου κατῆγε πυθμένα. καὶ τοὺς ὀφθαλμοὺς ἐπλήρου δακρύων εἰς αὐτήν μου μέσην σταζόντων ψυχήν. οἱ τῆς Ἀρτικώμιδος προὔχοντες ζητοῦσι ξενίσαι τὸν κήρυκα καὶ ὅλον ἕκαστος πρὸς ἑαυτὸν ἀνθέλκεται, καὶ μόγις ἥκεται· καὶ καινή τις ἔρις καὶ φιλοξενίας ἀγών. εἴποι τις ἰδών·

ἀγαθὴ δ᾽ ἔρις ἥδε βροτοῖσι.

Σώστρατος νικᾷ τὸν ἀγῶνα, καὶ ἅρμα φέρων ἀνάγει, καὶ παρὰ τὴν οἰκίαν μετάγει τὸν κήρυκα· καὶ φιλοφρονεῖται τοῦτον φιλοτιμώτατα, ὅσα καὶ Σωσθένης Ὑσμινίαν ἐμὲ, πλὴν Ὑσμίνης, πολυτελῶς ἐφιλοφρονήσατο. ἃ πάντα μέσης ἥπτετό μου ψυχῆς, καὶ λήθης ηὐχόμην

κρατῆρα πίνειν. ὅλον ὁ κῆρυξ ἀπετίθετο τὸ
κηρύκιον. καὶ τράπεζα πολυτελὴς παρετί-
θετο· καὶ παρθένος Ῥοδόπη Σωστράτου θυ-
γάτηρ, οἰνοχοεῖ· καλὴ μὲν κατὰ παρθένον
ἁπλῶς· πρὸς δέ γε τὴν ἐμὴν ἐκείνην
Ὑσμίνην, ὡς πρὸς Ἀφροδίτην μιμώ.
τρυφαὶ ποικίλαι περὶ τὴν τράπεζαν,
ὅσαις οἶδε καὶ Σωσθένης φιλοφρονεῖσθαι
τοὺς κήρυκας. ἐπὶ δὴ τούτοις πᾶσιν ὁ σφυγ-
μὸς ἥλλετό μου ὁ δεξιός. καὶ ἦν μοι τὸ
σημεῖον ἀγαθόν, καὶ τὸ προμάντευμα
δεξιώτατον. εἰ μὲν οὖν ὁ τῆς Ἀρτυκώμι-
δος οἶνος ἡδὺς κατὰ τὸν ἐξ Αὐλικώμιδος,
οὐκ οἶδα, νὴ τοὺς θεούς. Σώστρατος δ' οὐκ
ἔσχε κατὰ Σωσθένην Ὑσμίνην οἰνοχοοῦσαν·
ὅθεν ἡττᾶται Σωσθένους· καί μου τὸ κη-
ρύκιον τοῦ δεσπότου τοσοῦτον φιλοτιμότερον,
ὅσον καὶ δυστυχέστερον. μετὰ γοῦν τὰς ἐν
τῇ τραπέζῃ τρυφάς, καὶ τὸ τοῦ συμποσίου
πολυτελὲς καὶ λίαν φιλότιμον, Ῥοδόπη
κιρνᾷ κρατῆρα τῆς ἑορτῆς. ὁ μὲν οὖν κῆρυξ,
καὶ τῇ τύχῃ δεσπότης ἐμὸς ἐφ' οὕτω

obliuiſci ſtudebam. Statim ergo depoſitis ab hero præconij ornamentis & inſignibus, illuſtre cõuiuium paratum eſt. Rhodope, Soſtrati filia formæ non inelegantis, ſed quæ Iſmenæ æquè ac Veneri comparari poteſt, pincernam egit. Cæterùm multo varióque menſa luxu, & quali nuntios Soſthenes excipere amat, diffluebat. Mihi inter hæc omnia dexter crebrò ſaliens oculus felix augurium dabat. Itaque vtrum generoſum Artycomidis vinum, & quale Aulycomidis nectar, per Deos neſcio. Hoc ſolum noui; Soſtratum longè ab Soſthene ſuperatum iri hoc ſolo, quòd Iſmenem quæ vinum funderet pariter non habuit: vnde mihi præconium illo domini tanto magis honorificũ, quãto magis calamitoſum cõtigit. Poſt menſę delitias conuiuiiq; luxus, feſti poculum Rhodope propinauit: dominus meus, idémq; nuntius 16.

saliarem in modum conuiuatus egre-
giè, vt mihi quidem videbatur, & cum
voluptate bibit. Ego olim etiam præ-
co, & qui ab Sosthene honorificè ex-
ceptus sumptuosæ pariter mensæ ac-
cubueram, qui Ismenem, quam so-
lam intueri felicitas est, vinum mihi
propinantem habueram; prorsus eo
tempore seruus, seruorum opera sus-
tinebam: itaque nisi soluto conui-
uio discessum foret, actutum dolore
disruptus interijssem. Verùm herus
mensa surgens, & cubiculo suo red-
ditus, eximio molliter in lecto, qua-
lem Sosthenes mihi quoque ali-
quando parauerat, decubuit. Nec mo-
ra, cùm Sostrati filia, velut olim Is-
24- mene, præconis pedes lauatura, se-
quentibus quæ ad hoc ministerium
illam adiuuarent tribus ancillis, ac-
cessit; lauítque tamdiu, dum ego re-
uocata in memoriam circa pedes
meos Ismenes manuum & labiorum
iocularia facta mente reputans, cru-
ciabili suspiritu medijs è visceribus

πολυτελοῦς τραπέζης ἀνακεκλιμένος λαμπρῶς, ἔπιεν ὡς οἶμαι μεθ' ἡδονῆς. ἐγὼ δ' ὁ ποτὲ κήρυξ, ὁ λαμπρῶς ἐπανακεκλιμένος τραπέζης, ὁ τῷ Σωσθένει φιλοτίμως φιλοφρονηθεὶς, ὁ τὴν Ὑσμίνην ἔχων οἰνοχοεύουσαν, ἣν καὶ μόνον ἰδεῖν εὐτυχὲς, ἔργα τὰ δούλων ὑπέχω, καὶ ὅλος δοῦλός εἰμι. καὶ εἰ μὴ κατέλυετο τὸ συμπόσιον, τάχα ἂν ὅλος ὑπ' ὀργῆς ἐρράγην αὐτός. ἀλλ' ὁ κήρυξ ἀναστὰς τῆς τραπέζης ἐπὶ τὸ δωμάτιον γέγονε· καὶ παρὰ κλίνῃ λαμπρᾷ μαλακῶς ἀνακέκλιται· οἵαν κἀμοί ποτε Σωσθένης ὑπέστρωσεν. ἡ τοῦ Σωστράτου θυγάτηρ, κατὰ τὴν ἐμὴν Ὑσμίνην, ἧκε τοὺς πόδας ἐκπλῦναι τοῦ κήρυκος. καὶ δύο παιδίσκαι παρείποντο καθυπηρετοῦσαι τῷ λειτουργήματι. ἔνιπτε μὲν οὖν ἡ Ροδόπη. ἐγὼ δὲ τὰ παρὰ τοὺς ἐμοὺς ἀναλογισάμενος πόδας ἔκ τε χειρῶν καὶ χειλέων τῆς ἐμῆς ἐκείνης Ὑσμίνης χαριεντίσματα, πνεῦμά τι μέγα καὶ λίαν ὀδυνηρὸν ἐξ ἐμῶν μέσων ἐγκάτων

ἀνέσπασα, καὶ δακρύων ἐπληρώθην τοὺς ὀφθαλμούς. καὶ θεραπαινὶς ἡ τῶν ποδῶν τὸ μακρὸν ἀνέλκουσα περὶ χεροῖν, μικρὸν παρεστέναξεν, ὥσπερ μιμουμένη τὸ τῆς ἠχοῦς ὑστερόφωνον, καὶ οἷα Ὑσμίνη λεπτὸν παρεστέναξεν, ὅτε τῷ ποδί μου τὸν πόδα ταύτης ἐπὶ τῆς τοῦ Σωσθένους τραπέζης ἐπέθλιψα. εἶδον οὖν ἀτενῶς εἰς αὐτήν· καὶ νὴ τὴν Ὑσμίνην, τὴν Ὑσμίνην ἐδόκουν ὁρᾶν. ἡ δ' ἀντέβλεπεν ἀτενέστερον. ἐπεὶ δ' ἡ τοῦ Σωστράτου θυγάτηρ ἀπονιψαμένη τοὺς πόδας τοῦ κήρυκος ᾤχετο, καὶ αἱ θεραπαινίδες παρείποντο, συνῴχετο ταύτῃ, καὶ ἣν ὡς Ὑσμίνην ἑώρων αὐτός. ἐγὼ δ' ὅλην τὴν νύκτα κατετυραννούμην τοῖς λογισμοῖς, ἆρ' ἣν Ὑσμίνη, λέγων πρὸς ἑαυτόν. ἀλλ' ἐκ χειρῶν ἀπεσπάσθη τούτων ἐμῶν, καὶ χερσὶ κυβερνήτου δημίου πρὸ τούτων ἐμῶν ξιφνῶν ὀφθαλμῶν ἐξεσφενδονήθη τοῖς κύμασιν. ἀλλὰ Ζεύς, ἀλλ' Ἔρως τὴν κόρην ἐρρύσατο, καὶ πάντως ἔχει ταύτην Αὐλίκωμις. οὐδὲ γὰρ

ducto, lachrymis oculos impleui.Ponè famula, quæ linteum ad abſtergendos pedes ferebat, veluti quæ

--- fallax reſponſat imago

Vocibus; minimum quidpiam & quale Iſmene cùm illius pedem meo impoſito Soſthenis in menſa compreſſi, tenue ingemuit. Itaque defixis in illam oculis, ipſiſſimam, per Venerem, Iſmenen inſpicere mihi viſus ſum. Sed illa Soſtrati diſcedentem filiam ſequuta, cùm attentius me reſpexiſſet, nitidis iam nuntij pedibus, cum aliis duabus abſceſſit. Interim

Sæpe mihi dubiam traxit ſententia mentem.

Prorſus ipſiſſima Iſmene eſt, tacitus apud me inquiebam; ſed ex manibus meis per vim auulſa, mox carnifici gubernatori tradita ante hos infelices oculos in mare mactata eſt. O ſi Iupiter Amórque virgini liberatæ Aulycomidem reddidiſſent! nec enim,

vt ſuo damno ſeruiret, eripuiſſe credendum eſt. Dum illius imaginem animo fingens, pernox
Hæc puto, hæc in corde verſantur mihi;
ne tantillum quidem oculos quieti indulgens, ſtrato exſilij, ſtatímque oborta dies. Nocturnis malis aliud grauius accidit, vt certò ſibi inuicem noua malorum ſobole ſuccedere infortunia viderentur: namque rurſus opera ſeruorum ſuſtinebam ſeruus, imò ter ſeruus: Iſmenes primò quam deperibam, oculorum deinde, mox domini, ſortis iniuriâ. Rurſus procuratis largiter epulis, cum Soſtrato herus accubuit; Rhodope vinum præbebat, dum præteritarum rerum triſtior recordatio modò Aulycomidem ducens & ad Iſmenem trahens, modò præconij memoriam refricans, mentem animi grauiter oppugnabat. Inter hæc omnia famulam quæ ad obſequium dominæ ſtabat

ἐπὶ κακῷ καὶ δουλείᾳ ταύτην ἐσώσατο. καὶ ὅλην αὐτὴν ἀνεπλαττόμην τῷ νῷ, καὶ λογισμοῖς ποικίλοις ὅλην τὴν νύκτα παραμετρούμενος, τῆς στρωμνῆς ἀνέστην, μηδὲ μέχρι βλεφάρων τοῖς ὕπνοις προσεισάμενος. ἡμέρα γοῦν· καὶ τοῖς κατὰ νύκτα κακοῖς, μεῖζόν μοι προσεπιτίθεται τὸ κακὸν, καὶ κατὰ διαδοχάς μοι τὸ δυστυχές· πάλιν Ὑσμινίας ἐγὼ τὰ δούλων ὑπέχω, καὶ πάλιν δουλεύω, καὶ ὅλος δοῦλος καὶ τρίδουλος· δοῦλος Ὑσμίνης ἐξ ἔρωτος, δοῦλος λογισμῶν ἐκ τῶν ὀφθαλμῶν, τοῦ δοῦλος, ἐκ τύχης, τοῦ κήρυκος. τράπεζα καὶ πάλιν πολυτελής· καὶ πάλιν ὁ κήρυξ τῷ Σωστράτῳ συνανακλίνεται. καὶ πάλιν Ροδόπη κιρνᾷ, καὶ πάλιν κατ᾽ ἐμῆς ψυχῆς ἡ μνήμη στρατεύεται, καὶ ταύτην ὅλην πολϊορκεῖ. πρὸς τὴν Αὐλίκωμιν ἄγει, πρὸς τὴν Ὑσμίνην μεθέλκεται, καὶ ὅλον ἀναπλάττει μοι τὸ κηρύκιον. ἐν μέσοις τούτοις τῇ δεσποτίδι ἡ παιδίσκη καὶ πάλιν ὑπηρετεῖ. καὶ πάλιν ἐγὼ τὴν παι-

δίσκην ὁρῶ, καὶ πάλιν τὴν Ὑσμίνην βλέπειν δοκῶ. ἡ δ᾽ ἀτενέστερον ἀντιβλέπει με, καὶ τοὺς ὀφθαλμοὺς πληροῦται δακρύων. ἐγὼ δ᾽ ὑποσχὼν τῆς τραπέζης, δάφνῃ παρακαθίζω συνηρεφεῖ (ἐγγὺς γὰρ παραδείσου τὰ τῆς τραπέζης ὁ Σώστρατος ἡτοιμάσατο) καὶ δακρύων τοὺς ὀφθαλμοὺς πληρωθεὶς, καὶ βύθιον στενάξας ἐξ ἐνδὸν, Φεῖσαί μου, Ζεῦ, εἶπον· στῆσόν μου τὴν μακρὰν πλάνην, τὸν βαρύν μοι κλύδωνα καταπράϋνον. ἰδού με καὶ πάλιν καταπαίζουσι δαίμονες. πλάττουσι τὴν Ὑσμίνην, κοσμοῦσιν ἐρωτικῶς, ἱστῶσί μου κατὰ μέτωπον, καί με κατατυραννοῦσι καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς λογισμοῖς. ταῦτ᾽ ἔλεγον, καί τις ἐπιστᾶσά μου παιδίσκη φησίν· ὁ ἐξ Ὑσμίνης παρθένου σῆς ἐρωμένης, καὶ νῦν ἐμῆς ὁμοδούλου τουτό σοι τὸ ἐπιστόλιον. καί μου τῇ χειρὶ παραθεῖσα, δρομαίως ᾤχετο. τοῦτο δ᾽ ἐγὼ λαβὼν, ἀνέπτυξα συντόμως· τὸ δ᾽ εἶχεν οὕτως. Ὑσμίνη παρθένος Ὑσμινίᾳ τῷ ἐραστῇ

intuitus, Iſmenem iterum inſpicere viſus ſum. Illa etiam plenos lachrymarum oculos in me defixit. Itaque mihi à menſæ obſequio diſcedenti, quoniam horto vicinas epulas Soſtratus parauerat, vmbroſæ lauro aſſidere viſum eſt. Ibi medullitus ingemens, plenis lachrymarũ oculis, Tum demum, ô Iupiter, inquiebam, parce, longúmque hunc meum errorem ſiſtens, grauem malorum tempeſtatem ſeda. At me rurſus inania laruarum occurſacula ludunt, ínque Iſmenem, ornatam vt ſolet, effigiata, & oculos ſpecie fallunt optabili, & duplici malo videntem, dubitantémque mactant. Talia dicentem oppreſſit ancilla, quæ Iſmenes dominæ aliquando meæ, nunc conſeruæ, vt loquebatur, epiſtolam reddidit; ſtatímque illa reddita, celebri gradu greſſum accelebrauit. Ego acceptam epiſtolam, quæ ſic habebat, aperui. Iſmene virgo Iſmenię amatori

salutem. Ismenia Themistei, scito Ismenem tuam maris ex periculis à delphino liberatam, & Dianæ virginis Deæ, fontis arcúsque beneficio, virginem tibi conseruatam. Tu mei memoriam effundere caue: neque tot lubentias, quibus vnâ communem edulcauimus vitam, non recordare. Addo quòd exilio solum vertere coacta, parentibus & commodis tua causa desolata, maris etiam fluctus audacter tuli, & amara degustata morte inter Orci cancros iam hærens, captiua tamen ac serua, vt vides, adsum: Inter hæc omnia perpessu aspera, signati & non imminuti floris tecum vnà Daphnipolim nauigatura. Vale, & pacti conuenti memor virginitatẽ pariter tuere. Ita se habebat epistola: cuius verbis fidem adhibere cùm vellem, ipsa rerum gestarum memoria non sinebat. Et littera quidem, cùm negotia nostra exprimeret, Ismenem esse quæ

χαίρειν. Υσμινία Θεμιστείδη, ἴσθι ὡς Υσμίνην τὴν σὴν δελφὶν θαλάσσης ἐῤῥύσατο. καὶ πηγὴ καὶ τόξον Ἀρτέμιδος παρθένου θεᾶς, παρθένον σοι ταύτην παρεφυλάξατο. σὺ δὲ μὴ λήθην νοσήσης, μήτε τῶν ἐπ᾽ Αὐλικώμιδος τῆς ἐμῆς πατρίδος, πολλῶν χαρίτων ἐρωτικῶν, μήτε τῶν ἐπ᾽ Εὐρυκώμιδος πατρίδος τῆς σῆς· μηδ᾽ ὅτι διὰ σὲ καὶ πατρίδος καὶ τεκόντων καὶ τοῦ κατ᾽ οἶκον λαμπροῦ πάντων κατεφρόνησα· θαλάσσης καὶ κυμάτων κατετόλμησα, διὰ σὲ θανάτου γεύσασθαι μικροῦ πικροῦ· καὶ τέλος, αἰχμάλωτος καὶ δούλη νῦν ὡς ὁρᾷς· καὶ ἐπὶ πᾶσι τὴν παρθενίαν ἀπαρεγχείρητος. καὶ νῦν ὁμοιόδουλος ἐπὶ Δαφνήπολιν συνεκπλεύσω σοι. ἔῤῥωσο· καὶ τὰς συνθήκας ἀπαρεγχειρήτους τηρῶν, σωφρόνως ἀντιπαρθένευε. οὕτω μὲν οὖν εἶχε τὸ ἐπιστόλιον. οὐ πιστεύειν τοῖς γράμμασιν, οὐ συνεχωρούμην τοῖς πράγμασι. τὸ μὲν γὰρ δὴ γράμμα πείθειν ἐμάχετο τὸ παιδίσκην Υσμίνην εἶναι, καὶ τὸ Υσμίνης

τὸ ἐπιστόλιον. ὅλον γὰρ δρᾶμα τὸ καθ' ἡμᾶς ἀνεπλάττετο· τὸ δὲ τοῦ πράγματος καινὸν καὶ ὑπέρμεγα οὐ συνεχώρει μοι πιστεύειν τῷ γράμματι. δὶς οὖν καὶ τρὶς τὴν ἐπιστολὴν ἀναγνοὺς, καὶ ὅλην καταφιλήσας αὐτὴν, ἐξανέστην τῆς δάφνης· καὶ παρὰ τὴν τράπεζαν γεγονὼς, τὴν ὡς Ὑσμίνην παιδίσκην ἀτενέστερον ἔβλεπον, καὶ ὅλην περιειργαζόμην αὐτήν. ἡ δ' ἀντιβλέπουσα, τοὺς ὀφθαλμοὺς ἐπληροῦτο δακρύων. καὶ οὕτω κατελύετο τὸ συμπόσιον· καὶ κῆρυξ δεσπότης ἐμὸς σὺν δούλοις ἡμῖν, ἐπὶ τὸ δωμάτιον γέγονεν. Ὑσμίνη δ' ὡς δούλη τῇ Ῥοδόπῃ συνείπετο· καὶ οὕτως ἀπ' ἀλλήλων ἐγενόμεθα. καὶ πάλιν πυκνοὶ λογισμοὶ τὴν ψυχήν μου κατεμερίζοντο. καὶ πάλιν ἀναπτύξας τὸ γράμμα, κατὰ Λάκαιναν κύνα, καὶ νοῦν καὶ λέξιν ἀνώρυττον, καὶ ὅλον κατιχνηλάτουν τὸ ἐπιστόλιον. ὁ μὲν οὖν δὴ κῆρυξ καὶ δεσπότης ἐμὸς ἀνακεκλιμένος κλίνῃ λαμπρᾷ, καὶ μαλακῶς ἐσταλμένῃ, καὶ ὅλος

ſcripſerat perſuadere conabatur; niſi inſolens facti nouitas fidem minus adſtrueret. Itaque lectam ter & quater epiſtolam exoſculatus, cùm relicta lauro menſæ proximum me ſtetiſſem, famulam illam oculis in ea contuitu pertinaci intentis curioſiùs inſpexi, dum illa flentibus vbertim oculis pariter me reſpexit. Interea

Poſtquam exempta fames epulis, menſæque remotæ,

herus magna ſtipante caterua ſeruorum, cubiculo ſe reddidit. Iſmene ſimiliter Rhodopen, vt ancillam decuit, ſecuta eſt; nóſque ita ſeparati diſceſſimus. Tunc iterum fluctuans animi mens ſcindebatur in multiplices curas; rurſúſque, Lacænæ, quod dicitur, canis ad inſtar, apertæ verba epiſtolæ venaticè captabam. Dum pulcherrimo in lecto dominus meus & molliter, vt oportuit, præparato,

Feſſum quieti corpus nocturno impetu
Dedit, ſopore placans artus languidos:
me quidem humi cubantem variæ cogitationes & crebræ dormire non ſinebant; atque adeò totam noctem vigil emenſus ſum. Commodùm nocte diſcuſſa ſol nouus diem fecerat, cùm ſomno ſimul emerſus & lectulo præco, ſacra veſtimenta indutus, omni nuntij cultu ornatus ad Dianæ iuit. Ego domus ad tutelam relictus, cùm pro foribus excubans apertæ iterum epiſtolæ litteris, quas fletibus rigabam, oculos nimio plus adfixiſſem, Rhodope quæ in horto erat (is autem portæ cui aſſidebam, proximus) madentes lachrymis genas inſpiciens, quid cauſſarer interrogauit. Ego verò, Nihil aliud, inquam, domina, niſi quòd ex libero ſeruus ſum, & in ſeruitute dum viuo, malè mecum agitur. Tum illa genus & patriam ſcire, ac quomodo liber

κατὰ κήρυκα ὤν, καὶ μέχρι κλίνης αὐτῆς τοῖς ὕπνοις ἐσπείσατο. ἐγὼ δὲ σὺν ὁμοδούλοις κατὰ δοῦλον ἀνακλιθεὶς κατὰ γλῶτταν τοῖς λογισμοῖς οὐ συνεχωρούμην ὕπνου. καὶ ἦν μοι τὰ τῆς νυκτὸς ἡμέρα πρὸς ὕπνον καὶ γρήγορσιν. τῇ δ' ὑστεραίᾳ ὅλον ὁ κήρυξ περιθέμενος τὸ κηρύκιον, καὶ ὅλος κήρυξ γενόμενος, ἐπὶ τὸ ἱερὸν ἐγένετο τῆς Ἀρτέμιδος. ἐγὼ δὲ περὶ τὸ δωμάτιον καταλέλειμμαι· καὶ τῇ πύλῃ παρακαθίσας, καὶ τὴν ἐπιστολὴν ἀναπτύξας, ὅλους τοῖς γράμμασι κατεπεπήγειν τοὺς ὀφθαλμούς· καὶ ὅλον τὸ γράμμα τοῖς δάκρυσιν ἔπλυνον. ἡ δὲ τοῦ Σωστράτου Ῥοδόπη περὶ τὸν κῆπον γενομένη (περὶ γὰρ τὸ τῆς πύλης ἦν ἣ παρεκαθήμην αὐτός) καί με βρεχόμενον ἰδοῦσα τοῖς δάκρυσιν, καὶ οἷον κατελεήσασα, τί πάσχεις, τέκνον; φησίν. ἐγὼ δέ, οὐδὲν ἄλλο, δέσποινα, πρὸς αὐτήν, ἢ δοῦλος ἐξ ἐλευθέρων εἰμί, καὶ δούλιον ἦμαρ βλέπων, πάσχω κακῶς. ἡ δέ μοι καὶ γένος ἐζήτει μαθεῖν καὶ πατρίδα, καὶ ὅπως δοῦλος

ἐξ ἐλευθέρων γεγενημένη. κἀγὼ πρὸς αὐτήν· ἀλλὰ προτρέχει μου τοῦ λόγου τὸ δάκρυον, δέσποινα, καὶ κατεπικλύζει μου τὴν γλῶσσαν, καὶ κατακλυδωνίζει μου τὴν ψυχήν, καὶ ὅλην ἐπέχει μου τὴν ψυχήν. εἰ γὰρ τὴν ἐν κακῷ τύχην ἐθέλεις ἰδεῖν, ὅλως ἐν σώματί σοι παρίσταμαι, ὅλον ἐνδεδυμένος τὸ δυστυχές, πρὸς ὅλην ἀπευκταίαν τύχην μεταπλασθείς, καὶ στήλη δυστυχίας γενόμενος. ἡ δέ γε Ῥοδόπη μᾶλλον ἐζήτει τὰ κατ' ἐμέ, καὶ οἷον κατεδυσώπει ταῦτα μαθεῖν. κἀγὼ πρὸς αὐτήν· Εὐρύκωμίς μοι πατρίς, πατὴρ Θεμιστεὺς καὶ μήτηρ, Διάντεια· τἆλλα μὲν εὐτυχεῖς, πλὴν ἐμοῦ τούτου παιδός· ὃν Ἔρως καὶ Τύχη καὶ Ποσειδῶν ἐξ εὐτυχοῦντος δυστυχῆ, δοῦλον ἐξ ἐλευθέρου, καὶ τρίδουλον ἐκ κήρυκος φέρουσι. Διασίων καιρὸς, καὶ κῆρυξ ἐγώ· καὶ κῆρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν. ὅπως μὲν οὖν μοι κατέπαιζε τὸ δαιμόνιον, λαμπρὰς μοι προπομπὰς ὑφαῖνον καὶ θριάμ-

in ſeruum euaſiſſem doceri auebat. Ad hæc ego; Præcurrunt verba lachrymæ, ô domina, quæ loquentis vocem animúmque flebili diluuio inundant. Adeóque ſi ipſam rerum humanarum ſortem cum omni malorum turba videre lubido eſt, iam ego tibi integrã illam ſiſtam; quæ me infelicitatis columen, aduerſa omnia conglomerans, in eáque quaſi transformans, reddidit. Cupidam Rhodopem magis hæc omnia ſtimulabant, adeò vt precibus vrgendi finem non faceret, vſque ego exoratum me præbens, Eurycomis, inquam, mihi patria eſt; Themiſteus pater & Diantea mater; omnia felices, ſi hoc orbi filio vixiſſent, quem Amor, Fortuna, Neptunúſque felicem priùs & liberum præconémq;, nunc & magnis compotẽ & multis malis ſeruum pręterea pro lubidinis arbitrio raptant. Inſtãtibus Diaſijs ego ſorte præconium, non alicuius ignobilis vrbis, ſed Aulicomidis adeptus ſum. Superuacuum eſſet referre quibus me ludibrijs numẽ traduxerit; qua geſtientem pompa, quibus trium-

phis luſerit: compendiò vt narrem, Aulycomidem profectus, à Soſthene, qui primas in ciuitate obtinebat, exceptus ſum. Huic virgo filia, Gratiarum partus, Veneris merum cingulum, Amoris illicium, Cupidinum ineuitabilis plaga fuit; cum qua indiuidua Amoris ſocietate coniunctus ſine pudicitiæ offenſa,

Nec Zonam ſoluens diu ligatam,

artiſſimè vixi. Interim pactum alterius connubij pater inter epulas inductis ſermonibus concelebrauit. Quod nos auditu quidem ferentes, aliud fuga occupauimus; nauis, quæ ſe obtulerat, opera vſi. Circa id tempus procelloſum ſæuientibus vndis intumuit mare, ejúſque placandi ergô Gubernatoris manus ab complexibus meis formoſam virginem auulſit. Vix ea fatus eram, cùm animi deliquio mutis vox aſpera faucibus hæſit, &

Ipſe me in terram ſaucius fligi cadens.

Statim circumfluæ denſo agmine Rhodopes ancillæ ſubleuatum me & cubiculo domini redditum, eius in

οὺς πολυτελεῖς, περιττὸν ἂν εἴη καὶ λέγειν. κῆρυξ ἐς Αὐλίκωμιν ἥκω, καὶ τῷ Σωσθένει φιλοφρονοῦμαι, ἀνδρὶ τὰ πρῶτα τῶν ἐπ' Αὐλικώμιδι φέροντι. τῷ δ' ἦν παρθένος θυγάτηρ, μείλιγμα χαρίτων, Ἀφροδίτης κεστὸς, δέλεαρ ἐρωτικὸν, καὶ παγὶς Ἔρωτος ἄφυκτος. ταύτῃ δὴ ταύτῃ τῇ θυγατρὶ τοῦ Σωσθένους, ὅλῃ συνανεκράθην ἐρωτικῶς· κἂν οὐδέν τι τῆς παρθενίας ἐγυμνησάμεθα. γάμον ἕτερον ὁ πατὴρ κηρύσσει τῆς θυγατρός· ὃν μηδὲ μέχρι αὐτῆς ἀκοῆς ἀνεχόμενοι, φεύγομεν, καὶ τὸν γάμον ὠνούμεθα. ναῦς ὑπηρετεῖ τῇ φυγῇ. καὶ Ποσειδῶν ἐν κλύδωνι καὶ χειρὶ κυβερνήτου τὴν καλὴν ἐκείνην παρθένον ἀθλίων τούτων ἀφαρπάζει χειρῶν. ταῦτ' εἶπον· καὶ ὅλος ὀλιγωθεὶς τὴν ψυχὴν, καὶ ὅλος ἄφωνος γεγονὼς κατὰ γῆν ἐξαίφνης ἐπεπτώκειν. αἱ δὲ περὶ τὴν Ῥοδόπην περιχυθεῖσαί με, καὶ ὅλον συχνοῦσαί με, καὶ περὶ τὸ δωμάτιον ἀναγοῦσαί με, παρὰ τὴν τοῦ δεσπότου

κλίνην τοῦ κήρυκος ἀνακλίνουσι. καὶ ἡ Ῥοδόπη τῇ κλίνῃ παρακαθίσασα ὑπέρ μου χειρῶν, ἀπεμάσσετο τοὺς ἱδρῶτας, ἐδάκρυεν, ὅλον ἐκοινοῦτο μοι τὸ δυστύχημα, τὴν ψυχήν ἀνεκτᾶτό μου, τὰς ῥῖνας μυρίζουσα· ὑγρὰν μοι χεῖρα κατεπετίθει τῷ στέρνῳ, καί μοι τὸ περικάρδιον ἔψυχε. καὶ τέλος τὰς θεραπαινίδας κατασκορπίσασα, πλὴν τῆς ὡς παιδίσκης Ὑσμίνης, καὶ ὅλον συναγαγοῦσά με κατεφίλησε· καὶ φιλήσασα δακρύων ἐπληρώθη τοὺς ὀφθαλμούς. καὶ στενάζουσα βύθιον, ὦ τύχη, φησί, μεταπλάττουσα τὸν βίον καὶ φύσεις ἀλλάττουσα· ὦ παῖ Διός, τύραννε Ἔρως ψυχὰς κατατυραννῶν, ὁ τὸ ἐλευθέριον ἀφαιρούμενος καὶ τὴν δουλείαν ἀντιδιδούς. καί μου τὴν κλῆσιν ἐζήτει μαθεῖν. ἐγὼ δέ, ἀλλ' ὦ δέσποινα, καὶ ταύτην τὸ δαιμόνιον προσαφήρηται. οὐδὲ γὰρ οὐδ' αὐτῆς ἐφείσατό μοι τῆς κλήσεως, ἀλλ' ὡς ἐξ ἐλευθέρου δοῦλον εἰργάσατο· καὶ τὸ πικρὸν τῆς δουλείας ἀντὶ τῆς ἐλευθερίας

lectulo collocarunt; cui assidens ipsa, quà manus contrectans & sudorem abstergens tamquam infortunij mei particeps, collachrumans, exerrantem animum, nares inungendo, reuocabat; quin & humida pectori superposita manu, æstuans & inquieto ardore succensum leni frigore cor recreabat. Ancillis denique hinc inde præter Ismenem inter varia ministeria diuisis, pressim me humentibus basijs exsugens, medullitus hæc effata ingemuit: O fortunæ versabiles motus, qui mortalitatem, rerum naturas immutantes, luditis! ô durum Amoris in animas imperium, qui libertatis ablatæ loco seruitutem retribuit! Vix loquendi pausam feceram, cùm & nomen meum quæsiuit. Hoc vltimum, ô domina, respondi, numinis inuidia abstulit, quæ etiam nudo appellationis vocabulo parcere indignata est. Nam vbi me seruum ex libero fecit, & pro libertatis

dulcedine ſeruitutis amorem, pro luce tenebras retribuit, ſtatim & Græca detracta veſte Barbarico nomine Atracem vocauit. Ita verbo factóque ad infimitatem obſequiorum redactus ſum ſeruilium. Hæc dicendo, quam luctu & lachrymis ſqualentem ancillam Iſmenem intuebar, quid cauſſaretur, Rhodope interrogauit. Illa fra-
348 trem me ſuum eſſe mentita, & cum dicto arctiùs complexa, non deſtitit

Preſſa ſugere baſiatione;

vſque dum mutua reddens oſcula, Iſmene ſoror, ingeminans; illa, Iſmenia frater; vix ab inuicem ſeparati mendacio fidem fecimus. Rhodope pariter amplexu & oſculo excipiens, me ſibi carum eſſe ob illum quo germanam proſequebar amorem, pronuntiauit. Interim ancilla in cubiculum veniens, Soſtratum & dominum

vt cogitata dictáque non meminisset, liberos esse iusserunt. Ita rursus coronati liberíque parentibus redditi sumus, qui statim pro salute virbiorum quasi natorum numini gratias agentes festis cantibus choreísque nos reduces, omniúmque victores, simul saltantes eximium restitutæ libertatis ergô pæana canentes excepere. Vocabat interim prandij hora, nósque hospitio sacerdos exceptos saliari conuiuio tractauit. Ismene quidem defixis præ pudore in terram oculis, cibos ne manibus quidem attingere ausa est. Ego contrà quouis Olympionica lætior, prætermanus oculósque mensæ coniunctissimos, conuiuij cibis, nuptias animo cogitans, etiam fruebar. Post diuersas opiparásque epulas, surgens mensa sacerdos


συγγνώθι

συγγνῶθι, λέγοντες, Ἄπολλον, καὶ φρενὸς καὶ γλώσσης ἡμῖν. ἡμᾶς ἐλευθέρους ἀνακηρύττουσι, τὰς ἑαυτῶν ἐλευθερῶσαι ζητοῦντες ψυχάς. στεφανούμεθα πάλιν ἡμεῖς, ἐλευθερίαν ἐπιγραφόμεθα, καὶ τοῖς τεκοῦσιν ἀποδιδόμεθα. οἱ δ' ὅλοι πληρωθέντες ἡδονῆς καὶ χαρᾶς, σῶστρα θύουσιν ὡς ἐπανασωθεῖσι παισίν· ᾄδουσιν ἀναγώνια, καὶ χορεύουσιν ἐπινίκια. συνορχούμεθα τούτοις ἡμεῖς, καὶ παιανίζοντες ἐλευθέριον, ἡλίκον οἶδ' ἐράσμιον. καλεῖ δὲ δείπνου καιρὸς, καὶ παρὰ τοῦ ἱερέως ξενιζόμεθα, καὶ ἦν τὸ δεῖπνον φιλοτιμότατον. ἡ μὲν οὖν Ὑσμίνη τοὺς ὀφθαλμοὺς αὐτῆς ἐξ αἰδοῦς ἀφῆκε τῇ γῇ, καὶ ταῖς τροφαῖς οὐ προσωμίλησεν οὐδὲ μέχρις αὐτῶν. ἐγὼ δ' ὥς τις ὀλυμπιονίκης ἐξ ἡδονῆς καὶ χαρᾶς ὀφθαλμοὺς μὲν καὶ χεῖρας εἶχον ἐπὶ τὴν τράπεζαν· στόμα δὲ καὶ λαιμὸν ἐχαρισάμην τοῖς βρώμασι, καὶ ὅλῳ τῷ νῷ τὸν γάμον ἐνοπτριζόμην αὐτόν. μετὰ γοῦν δὴ ποικίλας καὶ πολυτελεῖς τὰς τροφάς, ὁ ἱερεὺς ἀναστὰς τῆς τραπέζης, καὶ


τὸν χιτῶνα διαζωσάμενος, καὶ γυμνώσας τὼ χεῖρε, πρὸς τόπον ἡμῖν ὑπηρέτησε, τοῦτο πόμα, λέγων, σωτῆρος Ἀπόλλωνος. πίνουσι μὲν οὖν οἱ πατέρες ἡμῶν, καὶ μετ' αὐτοὺς αἱ μητέρες· χάρις σοι, λέγοντες, Ἄπολλον, τῆς καλῆς ταύτης παρακαταθήκης, ἣν παρακατέθου τοὺς παῖδας ἡμῖν. καὶ μετ' αὐτοὺς ἡμῖν ἐκοινώσατο τὸ ποτήριον, Ἀπόλλων, λέγων, ὑμῖν κοινοῦται τὸ πόμα, ὃς καὶ τὸν γάμον ἐπισκήπτει χρησμοδοτῶν, δωρεῖται τὸ ἐλευθέριον, καὶ ὅλον κοινοῦται τὸ ζώσιμον. ταῦτ' εἰπὼν, συνανεκλίθη τε πάλιν, ἡμῖν, φησὶν, Ὑσμινία νυμφίε· ταύτην γὰρ σοι τὴν κλῆσιν Ἀπόλλων φοιβάζων ἀπεχαρίσατο, μὴ φείσῃ λέγων τὰ καθ' ὑμᾶς ἀρχῆς ἀπ' ἄκρης, καὶ μέχρις ἄκρης αὐτῆς. ἐγὼ δὲ πρὸς αὐτόν· ὅλους διάπτεις μοι κρατῆρας πυρὸς, καὶ μυρμηκιάν σοι τραγῳδημάτων διαστομοῖς. ὁ δὲ, ἀλλὰ μὴ φείσῃ μοι, φησὶ, πρὸς Ἀπόλλωνος, μηδενὸς, πρὸς ἐλευθερίας αὐτῆς καὶ νυμφῶνος, ὅν σοι λαμ-


cincta veste, nudatísque aliquantum brachijs poculum seruatoris Apollinis illud esse dictitans, præbuit. Primi Themisteus & Sosthenes, secundæque ab illis matres biberunt; Gratias agimus, ô Apollo, dicentes, ob pulchrum istud filiorum apud nos depositum. Nobis tertiò poculum sacerdos cum hoc dicto tradidit: Apollo inter vos hoc esse poculum commune vult, qui & vobis oraculo nuptias imperat, & libertate restituta toto vitæ curriculo eorumdē communiter participes, & indissolubili vitæ societate frui iubet. Hæc effatus accubuit, iterúmque ad me conuersus, Ismenia sponse, inquit, (tibi enim hoc nomen autumans deus tribuit) non negabis, vt puto, rerum tuarum narrationem à prima repetitā origine ad finem vsque pertexere. Tu flammas, inquam, accendis, innumerósque iubes renouare dolores. Te tamen per Apollinem, respōdit ille, obtestor, ne quidquā sileas, per libertatē tuam & nuptias quas tibi

tam splẽdidè numen parauit. Verùm optimo sacerdoti, vt harum desineret precum, persuasi, quia pudore turbata mens animi, territáque etiamnum hæreret, in crastinum integram narrationem seruaturus. Ita finito conuiuio nos cubiculis reddidimus; quorum alterum Themisteo patri matríque & mihi; in eóque tres lecti parati erant, in quibus somno concessimus: alterum Sostheni pariter & vxori Ismenæque. Ita discreti separatíque noctem dimensi sumus.




πρὶν Ἀπόλλων ἐνυμφοστόλησεν. ἐγὼ δὲ πρὸς αὐτόν· σύγγνωθι, δέσποτα· ὅλην γὰρ ἐξ αἰδοῦς καταπεθορυβημένος εἰμὶ τὴν ψυχὴν, καὶ ὅλον τεταραγμένος τὸν νοῦν. ἐς νέωτα δέ σοι τὰ τῆς διηγήσεως ταμιεύσομαι. πείθω τὸν ἱερέα, καὶ λύεται τὸ συμπόσιον, καὶ ἡμεῖς γινόμεθα παρὰ τὰ δωμάτια. Θεμιστεῖ γάρ μοι πατρὶ, καὶ μητρὶ Διαντείᾳ κἀμοὶ δωμάτιον ἓν ὁ ἱερεὺς ἀφωσίωσε. καὶ κλίνας τρεῖς παρὰ τούτῳ λαμπρὰς ὑπεστρώσατο· αἷς ἡμεῖς ἀνακλιθέντες, πρὸς ὕπνον ἐτράπημεν· Σωσθένης δὲ καὶ Πανθίᾳ σὺν τῇ τούτων Ὑσμίνῃ παιδὶ, δωμάτιον ἕτερον. καὶ οὕτως ἡμεῖς ἀπ᾽ ἀλλήλων διαλυόμενοι, τὴν νύκτα παρεμετρήσαμεν.





ΒΙΒΛΙΟΝ ια.

ΤΗι δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν βωμὸν γενόμενοι, δάφνης ἐστεφανωμένοι τὰς κεφαλὰς, ἐπανηγυρίζομεν ἱεροθέεια, ἐπαιανίζομεν ἐπινίκια, ἐπεκροτοῦμεν σωτήρια, ὅλας ἑκατόμβας Ἀπόλλωνι θύοντες. Τὸ δέ γε πλῆθος ὅσον εἶχεν οὐκ εὐαρίθμητον ὁ βωμὸς, περὶ ἡμᾶς εἶχε τοὺς ὀφθαλμοὺς, καὶ τοῖς δακτύλοις παρεσημαίνετο. καὶ ἦν τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν ἡμᾶς, ἀλλὰ πᾶσαν γλῶσσαν διήγημα κείμενον. καὶ ἦν Ἀπόλλων ἐφ' ἡμῖν εὐλογούμενος. πάλιν οὖν ἀρίστου καιρὸς, καὶ πάλιν δεῖπνον ὁ ἱερεὺς λαμπρὸν ἑτοιμάζεται, καὶ πάλιν ἡμᾶς φιλοφρονεῖται πολυτελῶς. ἐπεὶ δὲ πέρας ἔχει τὰ τῆς τραπέζης, ὁ τὸ δεῖπνον ἑτοιμασάμενος ὁ ἱερεὺς, τὰ καθ' ἡμᾶς καὶ πάλιν ζητεῖ



LIBER VNDECIMVS.

SEQVENTI die cùm ad Apollinis aram laureati veniſſemus, libertatem reſtitutam celebrauimus, felicis rerum exitus ergô cantauimus, & liberati plaudentéſque nobiliſſimo ſacrificio Apollinis pacem expoſtulauimus. Turba quæ ſine numero præſens aderat, inconniuo in nos defixa obtutu, digito monſtrabat. Ita noſtra omnium in ore hiſtoria erat, & in nobis Apollo vtique laudabatur. Interim cibi capiendi hora venit, iterúmque parato ſacerdos opiparo conuiuio dapaliter excepit. Circa finem, rerum noſtrarum

cupidiſſimus, nimio diſcendi ſtudio, auidè vrgendi finem cùm non faceret, ego quamuis me puderet, ideóque tardior & timidior ſubſiſterem, inuitus tamen ad illarum narrationem deficiente pænè voce & hærente aſpera ad fauces lingua, me comparaui, initium tenui voce ſic exorſus.

Pater mihi Themiſteus ille quem vides, & Diantea mater, quos tu benignè & honorificè hoſpitio excipis. Vrbs Eurycomis patria, in qua Iouis hoſpitalis celebre templum & Diaſia feſtum. In hac vrbe ſorte præconium adeptus ſum in Aulicomidem. Itaque laureatus illam quæ mihi contigerat veni, omnino magnificè, vt & Iouis præconium & me præconem decuit. Ibi me hoſpitio exceptum Soſthenes ſplendidè & humaniter habuit; nam & in hortū deducto, eius in medio cœnā appoſuit. Proximè pratū etiam lectum parauit, & Iſmenē filiam

μαθεῖν. καὶ ἦν ἀμεταθέτως ἐγκείμενος. ἐγὼ δ' ἀλλὰ κἂν ἠθυμούμην, κἂν ὤκνουν, κἂν ἔφριττον, ἀλλ' ἄκων ἀπεδυσάμην πρὸς τὴν διήγησιν. καὶ ἡ φωνή μου ἐπέλειπε, καὶ ἡ γλῶσσα ἐπείχετο. ἄρχομαι δ' ὅμως ὧδε λεπτῇ τῇ φωνῇ· πατὴρ μέν μοι Θεμιστεὺς ἐστί, καὶ μήτηρ Διάντεια, οὓς σὺ ξενίζεις φιλοτιμότατα. πόλις δ' Εὐρύκωμίς μοι πατρίς, παρ' ᾗ βωμὸς ξενίου Διός, καὶ τελετὴ τὰ Διάσια. ὁ κῆρυξ ἐγὼ κληρούμενος τὸ κηρύκιον· καὶ κῆρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν, στεφανοῦμαι τῆς δάφνης. ἥκω παρὰ τὴν κληρωθεῖσάν μοι πάντως πολυτελῶς, ὅτι καὶ Διὸς τὸ κηρύκιον, καὶ Διασίων κῆρυξ ἐγώ. παρὰ Σωσθένει ξενίζομαι τουτῳί, πολυτελῶς ὑποδέχομαι, φιλοφρονοῦμαι λαμπρῶς· εἰσάγει γάρ με περὶ τὸν κῆπον. ἐν μέσῳ τούτῳ τὰ τῆς τραπέζης μοι παρατίθεται. ἐγγύς μοι τοῦ λειμῶνος τὰ τῆς στρωμνῆς ἑτοιμάζεται. Ὑσμίνη ταύτῃ τῇ θυγατρὶ Σωσθένης (ἐστὸς

ὁ ταύτης πατὴρ) οἰνοχοεῖν ἐγκελεύεται· ἡ δ' οἰνοχοεῖ τῷ πατρὶ πειθομένη. τέλος εἶχε τὰ τῆς τραπέζης· καὶ νίπτει μου τοὺς πόδας Ὑσμίνη, παρθένοις πόδας παρθένοις χερσίν. ἀνακλίνομαι τῇ στρωμνῇ κατὰ παρθένον, ἀνέτως τοῖς ὕπνοις σπενδόμενος. ἀνίσταμαι μεθ' ἡμέραν. γίνομαι περὶ τὸν κῆπον· θαυμάζω τοῦτον τῆς τῶν φυτῶν συστοιχίας καὶ τῶν ἄλλων καλῶν. περὶ δὲ τοῦ κήπου θριγκίον μετάγω τοὺς ὀφθαλμούς· καὶ μετὰ δή τινας γραφὰς, θρόνον χρυσοῦν γεγραμμένον ὁρῶ. μειράκιον ἐπὶ τῷ θρόνῳ γυμνόν, ὁπλοφόρον, πυρφόρον, τὼ πόδε πτερωτὸν, χαρίεν τὸ πρόσωπον. τούτῳ δὴ τῷ μειρακίῳ δουλοπρεπῶς παρεστήκεισαν βασιλεῖς, δυνάσται καὶ τύραννοι, θῆρες καὶ θηρῶν βασιλεῖς· ἅπαν γένος πτηνῶν, ἅπαν γένος θαλάσσης· καὶ φασματώδεις δύο γυναῖκες τινὲς, ὑπὲρ γυναῖκας τὸ μῆκος, τὴν ῥυτίδα πέμπελοι καὶ τριπέμπελοι. ἡ μὲν, λευκὴ τὰ πάντα, τὸ πρόσωπον, τὴν τρίχα καὶ

vinum præbere iussit. Illa patri paruit, & finito conuiuio pedes meos castissimis manibus lauit. Ego cubili redditus, statim vt nondum amantem decuit, somno concessi: commodùm crastino manante sole hortum iturus surrexi. Ibi fruticum ordines, plurimáque alia mirabundus, tandem oculis septum vsurpans, post aliquas picturas, aureo sedili depicto insidentem infantem inspexi nudum, sed alatis pedibus & formoso vultu flammas atque arma tenentem. Stabant quodcumque ad obsequium parati Reges, principes, & tyranni, feræ præterea, ferarúmque præcipuæ, præter omne volucrum sæculum & vniuersum piscium genus. Proximè insolẽtis formæ mulieres duæ, proceræ supra vulgus & rugarũ sulcis senióq;, imò trisenio cõfectæ. Prima prorsus alba vultu, crine,

veste, pedibus manibúsque, ac cæteris corporis partibus candidissimis erat. Alterius tota corporis compages nigerrima, & à capite (vt vulgò dicitur) ad pedes vsque tincta colore noctis videbatur. Hæsi hoc attonitus spectaculo, quod ingenij lasciuientis figmentum aut artificis nouam insolentémque picturam suspicatus sum. Verùm super pueri caput iambici versus exarati Amorem ibi descriptum docebant, qui currui insidens omnibus regia potestate imperaret. Ego non solùm contemta conuitijs pictura, sed etiam lacessito, vt castum decuit, Amore discessi. At ille dormienti per noctem mihi apparens, exprobratis quæ toto die dixeram singulis, tandem intimo pectoris penetrali se insinuans, de præcone pudicóque in amatorem mutatum seruorũ numero adscripsit, traditáque in dextram manum Ismene cum somno & castitate

τὸ χιτώνιον, χεῖρας καὶ πόδας, καὶ τἆλλα τοῦ σώματος. ἡ δὲ, τὰ πάντα μέλαινα, τὴν ὄψιν, τὰς χεῖρας, καὶ μέχρι ποδῶν ἐκ κεφαλῆς, καὶ μέχρις ὀνύχων αὐτῶν. ἃ δὴ κατεθορυβήθην ἰδὼν, καὶ νοῦ πλάσμα, καὶ τέχνης ζωγράφου, τὴν καινὴν ταύτην ἀγωνιζομένην γραφήν. ἀλλ' ἦν ὑπὲρ τὴν μειρακίου κεφαλὴν ἰαμβεῖα, Ἔρωτα λέγοντα τὸ γεγραμμένον εἶναι, τὸν ἐπὶ δίφρου καθήμενον, πάντων κρατοῦντα βασιλικῶς. ἐγὼ δ' οὐ μόνον ἐκακολόγησα τὴν γραφήν, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν Ἔρωτα σωφρόνως ἀπέσκωψα. ὁ δ' ἐφίσταται διὰ νυκτὸς ὑπνωμένῳ μοι, καὶ τὰ μεθ' ἡμέραν κατονειδίζει με. καὶ τέλος ἐμπίπτει μου τῇ ψυχῇ, καὶ συνδουλογραφεῖ με τοῖς δούλοις αὐτοῦ, ἀντὶ κήρυκος, ἀντὶ παρθένου, πρὸς ὅλον ἐραστὴν μεταπλάττων με. καὶ τῇ χειρί μου ταύτῃ τῇ δεξιᾷ τὴν Ὑσμίνην μοι ταυτηνὶ παραδοθεὶς, ἀπέπτη μου τῶν ὀφθαλμῶν, συμμεθελκυσάμενος καὶ τοὺς ὕπνους, καὶ τὴν πρ-

ξενίαν, καὶ τὸ κηρύκιον. καὶ ἤμην ἐραστὴς
ὁ κῆρυξ καὶ ὁ παρθένος ἀπάρθενος· ὅλην
κατεπόρνευον τὴν Ὑσμίνην καὶ ὀφθαλμοῖς,
καὶ γλώσσῃ, καὶ νεύμασι. μεταπλάττω
καὶ ταύτην εἰς Ἔρωτα. καὶ οὕτως ἐξ Αὐ-
λικώμιδος παλινοστῶ πρὸς Εὐρύκωμιν,
ὅλῳ τῷ τῆς Ὑσμίνης δουλογραφούμενος
ἔρωτι. ἡ δ' ἀλλ' οὐδ' αὐτὴ καὶ πῦρ καὶ
πτερὸν καὶ τόξον ἐξέφυγεν Ἔρωτος, καὶ
γλῶσσαν ἐμὴν πιθανολογοῦσαν, ὅσα
παιδεύουσιν ἔρωτες. ἤρων οὖν Ὑσμίνης· εἰ
δ' ἀντηρώμην, αὐτὴ λεγέτω. καὶ τὸν
γάμον ἀλλήλοις ἐμνηστευόμεθα· ὃν κλέψαι
θέλων αὐτὸς (εἰρήσθω γὰρ τἀληθὲς) οὐ
συνεχωρούμην τῇ κόρῃ. Σωσθένης τοίνυν ὁ
ταύτης πατὴρ ἐν μέσῃ τραπέζῃ καὶ δείπνῳ
πολυτελεῖ γάμον ἕτερον κηρύσσει τῆς
θυγατρός· ὃν ζητοῦμεν φυγεῖν, καὶ τῇ
φυγῇ καθυπηρετεῖ Κρατισθένης, καὶ ναῦς·
ἧς ἐπιβάντες, τῆς ἐμῆς ἀπέβημεν Εὐρυ-
κώμιδος. εὐφόρου τυγχάνομεν πνεύματος,
καὶ χαίρομεν φεύγοντες. ἀλλὰ κυκᾷ τὴν

In tenuem procul ex oculis euanuit auram:
dum ego amore ſaucius ſine caſtitate caſtus, oculis, lingua nutúque Iſmenem depudicans parem in amorem transformo. Ita ex Aulicomide virginis amori mancipatus Eurycomidem redij. Sed neque illa pennas ignémque & Amoris arcum ac linguam præterea meam ſingula quæ docent Amores ad perſuaſionem aptè dicentem effugit. Amabam igitur puellam; an pariter amatus, ipſa dicat. Sed & poſt nuptias inter nos conciliatas, robuſtam voluptatem mihi ſubripere volenti, per Iſmenem, vt verum dicam, non licuit. Dum hæc aguntur, Soſthenes virginis pater medius inter opiparæ cœnæ delitias matrimonium aliud filiæ cùm nuntiaſſet, nos illud fugiendi deſiderio fugæ viam iniuimus, ad illam inſtruendam etiam Cratiſthenis opera vſi, & naue, quam commodùm conſcendentes ſecundo vento ex Eurycomide diſceſſimus. Ita læti fugiebamus;

Cùm deus attollēs æquales mōtibus vndas,
Turbatóque mari miſerā ſubmergere nauē
Certauit.

Tandem fœdæ tempeſtatis inſania, pretium quo redimeremur imponendum gubernator edixit: quod dum ſortiremur, cecidit ſuper Iſmenem
420 ſors, quæ ſtatim in mare præceps deturbata tranquillitatē vndis reddidit. De cæteris quæ ſubſecuta ſunt, viuentem rurſus illam aſpicio: ſed qua ratione, per timendam illam tempeſtatem, Neptunúmque, & acerbā quam nos paſſi ſumus ſeruitutem, per Apollinis ipſius numen & redditæ libertatis dulcedinem ignoro. Me totam interea nauem infelici gemitu turbantem, lachrymíſque rorantibus inundantem non tulit impatiens cum reliqua nautarum turba gubernator, ſed appulſa ad littus ſcapha naui exoneratū reliquerūt. Ibi in arena velut in vacuo tumulo ferales lachrymarū inferias puellæ libabā, cùm me triremis ex improuiſo ſuperueniēs barbaris hominib. plena inuaſit. Illi ferino prorſus more iniecta crudeliter manu arreptū

θαλασ-

θάλασσαν Ποσειδῶν· ἴσα καὶ ὄρεσιν ἐγείρει τὰ κύματα. τὴν ναῦν καταδῦσαι φιλονεικεῖ. λύτρον ὁ κυβερνήτης τεθεῖναι νομοθετεῖ· κληρούμεθα τοῦτο, καὶ ἰὼ ὁ κλῆρος ἐπὶ τὴν Ὑσμίνην πεσών. ἐκσφενδονᾶται τοίνυν ἐπὶ τὴν θάλασσαν, καὶ νηνεμίαν εὐθὺς τῇ θαλάσσῃ χαρίζεται. τὸ δ' ἐφεξῆς, ἀναβιοῦσαν ταύτην ὁρᾷς. πῶς δ' οὐκ οἶδα, νὴ τὸ φρικτὸν ἐκεῖνο κλυδώνιον· νὴ τὸν Ποσειδῶνα, καὶ τὴν πικρὰν δουλείαν· νὴ τὸν Ἀπόλλωνα, καὶ τὸ τῆς ἐλευθερίας γλυκύ. ἐγὼ δ' ὅλην τὴν ναῦν κατεκύκων τοῖς ὀδυρμοῖς, καὶ τοῖς δάκρυσι κατεπέκλυζον. ὁ μὴ φέρων ὁ κυβερνήτης, μηδ' ὅλον τὸ ναυτικὸν μετάγουσι παρὰ τὴν ψάμμον τὸ σκάφος, καὶ μετὰ τῆς νεὼς ἀποτίθενται. κἀγὼ δ' ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ, τὰς τῶν δακρύων χοὰς κατεσπενδόμην τῇ κόρῃ. καὶ τριήρης αἴφνης ἀφίσταται, πλήρης βαρβάρων ἀγρίων ἀνδρῶν, οἳ κατὰ θῆρας ἀπηνεῖς μοι κατεπιτίθενται ἀγρίως αὐτῶν ἐφελ-

κοντες τῶν τειχῶν. εἰσάγουσι περὶ τῇ τριήρει.
ἐπὶ τῇ κώπῃ παρακαθίζουσι. καὶ μετὰ δεῖπνον
βαρβαρικὸν, ἐκεῖθεν ἀπαίρουσι. καὶ ἐπι-
τίθενταί τινι πολιχνίῳ, καὶ τοῦτο καταληΐ-
ζονται, καὶ σκύλων πληροῦσι τὴν ναῦν.
τοὺς μὲν οὖν δὴ νεανίσκους ταῖς κώπαις
παρακαθίζουσι· τοὺς δὲ ὑπερναβεβη-
κότας αὐτοὺς, ἔργον μαχαίρας τεθείκασι,
καὶ τῇ θαλάσσῃ παραδεδώκασιν. οὐκ
εὐαρίθμητον γὰρ ὅσον ἐν ἀνθρώποις ἡ
βάρβαρος χεὶρ ἐκ τοῦ πολιχνίου κατε-
ληΐσατο. ὅσον δὲ ἐν γυναιξὶν, ἀκολάστως
ἐχρήσατο. ταῖς παρθένοις γὰρ οὐδὲ μέ-
χρις ἁφῆς βαρβαρικῶς ἐνεανιεύσατο.
καὶ οὕτω παρὰ Ἀρτύκωμιν ἐγενόμεθα. ἐπὶ
τὸ βάρβαρον βαρβαρικάς τινας σπονδὰς
ἐσπείσατο τοῖς ἐξ Ἀρτυκώμιδος. καὶ οὕτω
πλείω ἀνθρώπων, πλὴν ἐξεφορτώθη τὸ
ληϊσθέν. τὸ μὲν οὖν ἐν παρθένοις, ἐξ ἀν-
θρώπων ἡμῶν ἠργυρολογήθη πολλοῦ· πρό-
τερον τῇ τῆς Ἀρτέμιδος ἐμβεβλημένον
πηγῇ. ἡμῶν δὲ νεανίσκων καὶ γυναικῶν

crinibus etiã immaniter in triremem tractum ad remos collocarunt. Mox & finito barbarico prandio inde ſoluentes, oppidulum aliquod cùm inuaſiſſent, & illo miſerè direpto nauem ſpolijs impleuiſſent, iuuenibus ad remos ſedere iuſſis, cæteros prouectioris ætatis & exoleti floris occiſos in mare præcipites dederunt. Etenim magnam hominum multitudinem, quãta nempe fuerat, barbarorum manus ex hoc oppidulo prædata abduxerat, mulieribus etiam cùm ad libidinum ſuarum flagitia vterentur, aduerſus virgines ne tactu quidem, vt de barbaris ſuſpicari promptum, inſolẽter ſe geſſerunt. Ita vrbem Artycomidem venimus, ſtatímque pactis barbaricis quibuſdam inducijs nauem omnibus quæcumque diripuerant ſpolijs exonerarunt. Virgines quotquot erant, Dianæ fonti primò creditæ, illiúſque vndis probatæ, magnò diſtractæ ſunt. De nobis adoleſcentibus feminiſque

ne quidem vllus quæsiuit. Ita rursus triremi redditi sumus, quam paulò pòst solutam & abductam in alium portum appulimus. Ibi illa probè rudentibus firmata, in terram cum mulieribus descendentes barbari, post saliares epulas & vina quibus ex Artycomide aduectis triremis abundabat, feminis etiam per summam turpitudinem abusi, mero & Venere ebrij somno indulserunt. Inter hæc omnia libidinantes barbaros aucupati Daphnipoleos milites, stertentes fatigatósque inuadunt, comprehendunt, occidunt, diripiunt; nósque simul captiuos abductos per mediam vrbem celebri triumpho & pompa circumlatos, tamdem oraculo permittente in seruitutem sorte diuisos adsciscunt. Ita secundò seruus factus sum, méque in hanc istam Daphnipolim seruilis necessitas & iugum

λόγος οὐδεὶς τοῖς ἐξ Αρτυκώμιδος. καὶ πάλιν ἡ τριήρης εἶχεν ἡμᾶς· καὶ λύσαντες τοῦ λιμένος ἐξάγομεν, καὶ πρὸς λιμένα μετάγομεν ἕτερον. ὅπου τὸ βάρβαρον τὴν τριήρη τοῖς πείσμασι καταπηξάμενον, παρὰ τὴν ἤπειρον γέγονε, καὶ τὰς γυναῖκας συμμεθειλκύσατο. μετὰ γοῦν δὴ πολυτελεῖς τινας τροφὰς καὶ πότους, ἃς ἐξ Αρτυκώμιδος ἡ τριήρης εἶχε πολλὰς, ἀσέμνως ταῖς γυναιξὶ τὸ βάρβαρον κατεχρήσατο, καὶ τοῖς ὕπνοις ἐπείσατο, καταβεβακχευμένον καὶ οἴνῳ καὶ ἔρωτι. ἐν μέσοις τούτοις ὕπνοις καὶ ἔρωσιν, ἢ μᾶλλον ἀκολάστῳ γνώμῃ βαρβαρικῇ, τὸ τῆς Δαφνηπόλεως ταύτης ἐφίσταται στρατιωτικόν. ὑπνοῦσι τοῖς βαρβάροις κατεπιτίθεται. συνέχει τούτους, σφάττει, ληΐζεται. ἐπὶ δὴ τούτοις καὶ ἐφ' ἡμῖν, ἐν μέσῃ πόλει ταύτῃ πομπεύει τὸ στρατιωτικόν. καὶ τέλος ἡμᾶς χρησμῷ καταδουλοῦται καὶ κλήρῳ καταμερίζεται. δουλογραφοῦμαι πάλιν ἐγώ; καὶ δούλιος κακοῖ με ζυγὸς ἐς ταύτην τὴν

Δαφνήπολιν. ἀλλ' ἥκει καιρὸς ὁ παρών, καιρὸς Ἀπόλλωνος ἑορτῆς. καὶ λαμπρὰ τελετὴ τὰ τῆς ἑορτῆς καὶ πανηγύρεις, κληροῦται κήρυξι τὸ κηρύκιον. καὶ δεσπότης ἐμὸς ὁ χθές μοι τὸν τῆς εὐθείας διαρρηξάμενος στέφανον, κῆρυξ ἐς Ἀρτύκωμιν στέλλεται· γὰρ παρὰ τὴν κληρωθεῖσαν. συνέπομαι τῷ δεσπότῃ κατὰ δοῦλον ἐγώ. φιλοφρονούμεθα παρὰ Σωστράτῳ παρὰ τῆς Ῥοδόπης πατρὶ, παρὰ χθὲς ἀφελομένῳ τὸν τῆς Ὑσμίνης στέφανον. ταύτης δὲ τῆς Ῥοδόπης τὴν Ὑσμίνην δούλην ὁρῶ. τὸν ἀδελφὸν ὑποκρίνομαι. ἡ δ' ὅλην μοι τὴν ἀδελφὴν καταχηματίζεται. καὶ φιλούμενος ὁρώσης καὶ Ῥοδόπης αὐτῆς· εἰ δ' ἐρᾷ μου Ῥοδόπη, καὶ τὴν ἐμὴν ἀδελφὴν ταύτην Ὑσμίνην καὶ δούλην αὐτῆς ὑπηρέτιν ἔχει πρὸς ἔρωτα, Ὑσμίνη λεγέτω. τὰ δὲ παρὰ τὸν βωμὸν, σὺ μᾶλλον οἶδας ἡμῶν ἀκριβέστερον· τὰ τῶν μητέρων δάκρυα, τὴν τῶν πατέρων γλῶσσαν ἐξενολογουμένην, τὰ καθ' ἡμᾶς, τὸν χρησμὸν, τὴν

vocauit. Interim tempus Apollinis feſti incidit, & ſplendida celebritas illuſtríſque conuẽtus imminebat, cùm herus, is qui heri libertatis mihi redditæ ſignum coronam à capite meo auulſam diſrupit, ſorte præconium indeptus, me ſeruo ſubſequi iuſſo, Aulicomidem venit: vbi à Soſtrato illo, qui ſimiliter Iſmenes coronam per vim abſtulit, Rhodopes patre humaniter excepti ſumus. Ibi Rhodopes ſeruam Iſmenem intuitus, cùm ego me illius fratrem ſimulaſſem, & illa ſororem pariter fingeret, etiam inſpiciente Rhodope amabamus: an verò me deperiret Rhodope, & ſororis Iſmenes famulæ ſuæ vteretur opera, illa dicat. Cætera quæ poſtmodùm aram circa contigerunt, tu meliùs & accuratiùs tenes; matrum lachrymas, & parentum quibus infelicem noſtram ſortem miſerabãtur verba, oraculum,

pignora sua inuenta, libertatis impositas auulsásque coronas, beatam orationem tuam, restitutam libertatem, aliáque quæ in templo contigerunt. Hæc effatum sacerdos, cùm me valere iussisset, conuersis ad Ismenem oculis, Puella, inquit, ego sponsi tui casus omnes eius ab ore didici: tu modò dimidiæ tantùm lunæ orbem integrum perfice, vt perfectã postea totius historiæ narrationem teneam. Ad hæc Ismene, Parce, precor, linguæ, per Apollinem seruatorẽ: nam & virgineam vocem innata verecundia cohibet: neque ego tam proiectæ audaciæ vnquã fuerim, vt parentibus coram veram rerum gestarum historiam pertexere audeam. Denique virginibus tacere ac sermonum procaciam fugere, laudi semper & ornatui fuit. Hæc & talia sacerdoti pudibunda Ismene responderat, cùm ille contrà, Filia, inquit, post libertatem tibi restitutam etiam

τὴν παίδων ἀνεύρεσιν, τὸν τῆς ἐλευθερίας στέφανον, τὴν στεφάνωσιν, τὴν ἀποστεφάνωσιν, τὴν σὴν μακαρίαν ἐκείνην φωνήν, τὸν τῆς ἐλευθερίας ἡμέτερον στέφανον, καὶ τἆλλ' ὁπόσα παρὰ τὸν μέγαν τοῦτον τῆς ἐλευθερίας βωμόν. Ταῦτ' εἰπόντι, χαίροις, ὁ ἱερεύς μοι φησί· καὶ πρὸς τὴν Ὑσμίνην μεταγαγὼν τοὺς ὀφθαλμούς, παρθένε, λέγων, Ὑσμίνη, τὰ μὲν δὴ παρὰ τουτονὶ τὸν νυμφίον τὸν σόν, ἔχω μαθὼν ἀπὸ γλώσσης αὐτοῦ. σὺ δέ μοι τὴν μηνοειδῆ σελήνην ὁλοκύκλωσον, ἵν' ὁλόφωτον εἴη μοι τὸ διήγημα. ἡ δὲ πρὸς αὐτόν· φεῖσαι γλώσσης ἐμῆς, πρὸς Ἀπόλλωνος σωτῆρος. γλώσσῃ γάρ τοι παρθενικῇ αἰδὼς προκάθηται. μηδὲ γὰρ οὕτω πάντολμος εἴην, ὡς τὸν πατέρα μὴ φείδεσθαι, καὶ τὴν μητέρα περιφρονεῖν. σιγὴ παρθένοις κόσμος, καὶ γλώσσης φειδώ. Ταῦτα μὲν οὖν ἡ κόρη μετ' αἰδοῦς πρὸς αὐτόν. ὁ δὲ τὰ πάντα καλὸς ἱερεύς, παρθένε τέκνον, φησίν, εἶτα σοὶ μὲν ἐλευθερίαν Ἀπόλλων χαρίζεται, καὶ

τὸν καλὸν τοῦτον Ὑσμινίαν ἐπινυμφεύῃ σοι. σὺ δ' οὖν αὐτὸ δὴ τὸ κατά σε δρᾶμα θύσεις Ἀπόλλωνι· ἵν' εἴη τὸ διήγημα ἀγωνίζον, καὶ φθίνον τὸ τερατούργημα, ὁ μέγας Ἀπόλλων οὕτω καινῶς ἐφ' ὑμῖν φοιβάζων τερατουργεῖ; ἡ δ' ἐσίγα, καὶ μόνον ἐδάκρυεν. ὁ δέ γε Σωσθένης ἀτενῶς ἰδὼν πρὸς αὐτὴν, καὶ δεινὸν τοῖς ὄμμασιν ὑποβλέπων· οὐ γλώσσης σιγή, φησὶν, ὁ τῆς σωφροσύνης ὅρος ἐστὶν, ἀλλ' ἔργων κοσμιότης καὶ ἤθους εὐπρέπεια. σοὶ δ' αἰδὼς μὲν οὐκ ἦν πραττούσῃ κακῶς, εἰπεῖν δ' αἰσχύνη. ἐμοὶ δ' εὐκταιότατον, Ἄπολλον, αἰδεῖσθαι ταύτην πράττειν, ἢ μᾶλλον λαλεῖν. πρὸς ἃ δὴ, νὴ τοὺς θεοὺς, ἠρυθρίων αὐτός· καὶ ὀλίγου δεῖν ἐπεφραττόμην τὰ ὦτα, καὶ ἄλλος ἡμῖν Πρωτεὺς μυρίοις τοῖς χρώμασιν ἀλλαττόμενος, πολύ τε δυσχεραίνων τοῖς σκώμμασι τοῦ παιδός· πρὸς ὃν ὁ ἱερεὺς, πέπαυσο, Σώσθενες, μὴ καὶ ἀναστῆναι πείσῃς τὴν κόρην. αἰδὼς γὰρ, παῖς ἐλέγχων ἐστὶ, πρᾶξις δ' οὐκ ἔτεκεν αὐτήν.

pulchrum Ismeniam despondit Apollo. Tu verò æterna perennare memoria narrationem illam velut illi sacram non curas: adeóque per te miracula illa pereunt, quæ tam inusitata & insolita circa vos edito etiam oraculo perfecit. Tacebat illachrimans illa, cùm Sosthenes defixis in eam oculis iracundum intuitus, Nequaquã, inquit, silentium castitatis argumentum est, sed modesta opera, optimíque mores. Te tuorum operum, cùm malè faceres, non puduit: nunc illorum recitationis pudet. At nobis optandum illud fuisset, vt quæ referre times, facere timuisses. Erubui ad ista, per Deos, & occlusis parum abfuit auribus, varios, tamquam aliquis Proteus, subinde colores mutando, molestè prorsus patris iocos ferens, illis succensebam. Verùm sacerdos Sostheni, vt se cohiberet, edixit, ne virginem inde discedere cogeret: nam & reprehensionem sequitur pudor, quem tamẽ res ipsa non meretur.

Statímque his dictis ad puellam con-
uerſus, ne ideo à narrando ceſſaret,
imperauit. Illa ſudore amaro fletúque
diffluens, titubante lingua & offenſa
ob lachrymas voce, morātibus tellure
oculis ſic incepit: Omnia quæ ad no-
ctem vſque & tempeſtatē acciderunt,
vobis hoc à viro narrata ſunt: cæterùm
in mare præcipitem deiectam leuiter
adnatans delphin, agiléſque per vndas
ſaltus ſubinde vibrās dorſo ſuſcepit a-
mico. Ego nuda pernóxque belluæ &
aquarum ſpectaculo turbata, etiam o-
culorum vertigine ad maris aſpectum
correpta, nimio piſcis timore diſtracto
varijs cogitationibus animo angebar:
adeóque piſcem, quo ſalutis auctore
fruebar, quamuis inſeruientem mihi,
tamen inimico contra me animo repu-
tans, quem liberatorem metuebam, il-
lum amplexata inimicum amabā. Ita-
que belluæ metu de fuga ſollicita,
cùm eius ineundæ viam quærerem,
irato me committere mari non auſa,
reciproco curarum vndarúmque flu-
ctuans æſtu, præter varias de delphi-
no cogitationes, his omnibus agitata
hærebā. Iámque medijs aquis ſpiritum

καὶ πρὸς τὴν κόρην φησί· μὴ φείσῃ λέγουσα. ἡ δὲ περιρρεομένη πυκνοῖς ἱδρῶσι καὶ δάκρυσι, καὶ τῇ γλώττῃ διαμαρτάνουσα, καὶ τὴν φωνὴν παρακοπτομένη τῷ ἄσθματι, καὶ ὅλους τοὺς ὀφθαλμοὺς ἀτενῶς τῇ γῇ προσερείδουσα· τὰ μὲν δὴ μέχρι νηὸς καὶ θαλάττης καὶ κλύδωνος, εἴρηται, φησὶ, τῷδε τἀνδρί. ἐπεὶ δ' ἐξεσφενδονήθην εἰς θάλατταν, δελφὶν ἐπὶ νῶτον με δέχεται, τοῖς κύμασι κυβιστῶν, καὶ ὅλος κούφως νηχόμενος. ἐγὼ δ' ἐπενηχόμην μὲν γυμνὴ τῷ θηρί, καὶ τοῖς κύμασιν ἐκυκώμην, καὶ πρὸς τὴν θάλατταν ἠλιγγίων, καὶ πρὸς τὸν τοῦ θηρὸς φόβον τὴν ψυχὴν ἐσπαραττόμην αὐτήν. εἶχον ὡς σωτῆρα τὸν θῆρα, καὶ τὸν ὑπηρέτην ἐλογιζόμην ἐχθρόν. ἔφριττον τὸν σωτῆρα, τὸν ἐχθρὸν ἐφίλουν· καὶ ὡς σωτῆρι μὲν συνεπλεκόμην αὐτῷ. ἐπεὶ δὲ θὴρ ὁ σωτήρ, ἐζήτουν φυγεῖν· ἀλλ' οὐκ ἐθάρρουν τοῖς κύμασι. καὶ ἤμην κατακλυδωνιζομένη καὶ λογισμοῖς καὶ κύμασι καὶ θηρί· ἐπεὶ δ' ἤδη τὴν ψυχὴν

ἀπεφύσων τοῖς κύμασι, μειράκιον ἐφίσταταί μοι γυμνὸν, ἐπὶ δελφῖνος ἑστώς. καὶ αὐτὸ χεῖρά μοι προτείνει, καὶ λαβὸν, ἐπὶ τὴν χέρσον ἐξάγει με· καὶ πτερυξάμενον τοῖν ποδοῖν (ἦν γὰρ πτερωτὸν τὼ πόδε) τῶν ὀφθαλμῶν μου ἀπέπτη. ἐγὼ δὲ, ἀλλ' ὦ μῆτερ, παρακαθημένη τοῖς κύμασιν, ὦ μῆτερ μῆτερ, σὺν δάκρυσιν ἔλεγον. μετὰ γοῦν δή τινας ἡμέρας, ὧν ἀκριβῶς οὐκ οἶδα τὸν ἀριθμὸν, ναῦν παραθέουσαν ὁρῶ, πρὸς ἣν ἐκτείνω τὼ χεῖρε. τῷ σχήματι δυσωπῶ, καὶ παρακαλῶ τῇ φωνῇ. Ταύτην ἄγουσιν οἱ πλωτῆρες περὶ τὴν γῆν, καί με τῆς χέρσου λαμβάνουσι, καὶ παρατίθενται τῇ νηΐ. καὶ πάσχουσι τὴν ψυχὴν, διερρωγός τι ῥάκος ἐπιδιδύσκουσι, καὶ τροφὴν μοι συμπαθῶς παρατίθενται, ὅλον κοινούμενοι τὸ δυστυχές. τὴν νύκτα γοῦν ὅλην οὐρίῳ πλέοντες πνεύματι, ἔτι μικρὸν ὑποφαινομένης τῆς γῆς, οὐ σφόδρα βιαίως ἠγόμεθα. ἡλίου δ' ἀνίσχοντος τὸ κῦμα ηὔξανετο. καὶ ὁ ἄνεμος ἐπεδίδου,

exhalaturæ puer delphino nudus inſidens adſtitit, qui protenſa manu me captam, móxque in terram deductam relinquens, ſtatim alarum quas in pedibus habebat, remigio vſus, ab oculis ſubitus euolauit.

Interea vaſti deſerto in littore ponti
Sola gemens, lachrymíſque genas perfuſa madentes,
Sæpius ingeminans, matrem miſeranda vocabam.

Poſt aliquot dies, quorum ego numerum non teneo, nauem intuita, manibus expanſis, ſupplici etiam geſtu & voce vocaui. Nauigantes, illa celeriter in terram appulſa, exceptam me ſtatim & naui impoſitam, commiſeratione, vt videbatur, ducti, laceris quibuſdam pannis induerunt; appoſitis etiam quos truncarem cibis, ſuæ communis miſeriæ participem fecerunt. Tota nocte propitio vento nauigauimus: iámque ſalutata quæ paululum apparebat terra, non inuitis zephyris properabamus, cùm oriente ſole, creſcentibus vndis & ingruentibus notis,

diſruptóque malo, gubernator qua poterat arte tempeſtatem effugere conabatur: Sed miſerum latuit quòd ab fumo fugiens in flammam inciderat: namque vt appulſa primùm triremis quieuit, ferinis hominibus traditos nos demum ſenſimus: etenim altera in portu triremis hominúmqne multitudo viſa eſt, qui truculentis oculis, & nigerrima facie, crudelibus belluarum potius quàm virorum manibus, poſtquam nos omnes captiuos detinuiſſent, hominibus ſingulis per ſummum ſcelus occiſis, capta lætiſſimi præda receſſerunt; ſolam me iacentem in nauis fundo, in vinculis relinquentes. Poſtridie velo ventis dato reddita mari triremis tota, nocte leuiter dulci zephyrorum anima ferebatur: Verùm vbi primùm cum luce ſummo mane ſol incanduit, proxima cum terra ciuitas conſpecta eſt. Ibi deſcēſu facto, poſt inducias cũ incolis pactas, piratæ me quoque cum cæteris

καὶ κατετρύγα τὸ κέρας. ὁ δὲ ὁ κυβερνήτης ἐζήτει τὴν γῆν, ἐκφυγεῖν τὸν κλύδωνα· ἀλλ' ἔλαθεν εἰς πῦρ ἐμπεσὼν, τὸν καπνὸν ἐκφυγών. ἅμα γὰρ τῇ γῇ προσορμίζει τὴν ναῦν, καὶ θηρσὶν ἀνθρώποις ἡμᾶς παραδίδωσιν. ἰδοὺ γὰρ περὶ τῷ λιμένι τριήρης, καὶ παρὰ τῇ ψάμμῳ πλῆθος ἀνδρῶν, τοὺς ὀφθαλμοὺς ἀγρίων, μεμελανωμένων τὰς ὄψεις, παλαμναιοτάτων τὰς χεῖρας, καὶ θηρίων ὅλων, ἢ μᾶλλον ἀνδρῶν· οἳ συνέχουσι πάντας ἡμᾶς, καὶ σφάττουσι τοὺς ἄνδρας ἀνηλεῶς, καὶ χαίρουσι τῷ θεάματι. ἐμὲ δ' οὐκ οἶδ' ὅπως παρὰ τὸν πυθμένα σκάφους κατάγουσι, ποδοκάκην ἐνθέντες μοι τοῖς ποσί. καὶ μεθ' ἡμέραν ἐκείνην ἐστείλαντο τὴν ὀθόνην, παραδόντες τὸ σκάφος τῷ πνέοντι. καὶ δι' ὅλης ἐκείνης νυκτὸς, ἐφερόμεθα προσηνῶς οὐρίῳ τῷ πνεύματι. ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος, καθορῶμεν τὴν γῆν· καὶ πόλις περὶ τῇ γῇ. ἀποβάντες τῆς τριήρους οἱ πειραταὶ, καὶ τοῖς πολίταις ἀσπασάμενοι, ἐξάγουσι τὸν

φόρτον τοῦ σκάφους, κἀμὲ συνεξάγουσι. καὶ περί τινα μετάγουσί με πηγήν, καὶ δάφνης με στεφανώσαντες, ἐπιρρίπτουσι τοῖς ὕδασι, καὶ μεθ᾽ ὥραν πάλιν ἐξάγουσι, καὶ δουλογραφοῦσί με τῇ Ῥοδόπῃ· μεθ᾽ ἧς τὸν μέγαν τοῦτον βωμὸν τῆς ἐλευθερίας κατέλαβον· δέσποιναν ἔχων αὐτὴν ἐκ θαλάσσης, καὶ τύχης, καὶ δουλογραφείου βαρβαρικοῦ. ταῦτα τῆς ἐμῆς Ὑσμίνης εἰπούσης, τέλος τὸ δεῖπνον ἐδέχετο. καὶ τοῖς ὕπνοις ὡς ἐκ πολυτελοῦς τραπέζης εὐθὺς ἑστιασάμεθα. ἐπεὶ δὲ νὺξ οὐδαμοῦ, ἥλιος γὰρ ὑπὲρ γῆν, καὶ ἡμεῖς τοῖς ὕπνοις ἀπεστιασάμεθα, καὶ στρωμνῆς ἀνέστημεν ἕκαστος. ἐπεὶ δὲ πέρας λάβοι καὶ τὰ τῆς ἑορτῆς, ἀπαίρομεν ἐκ Δαφνηπόλεως εἰς Ἀρτύκωμιν, ὡς χρυσὸν ἐν πυρί, τὴν Ὑσμίνην ἐν πηγῇ καὶ τόξοις ἀργυρογνωμονήσοντες. παρὰ τὴν πηγὴν γινόμεθα τῆς Ἀρτέμιδος· καὶ πᾶσα πόλις σὺν ἡμῖν συνεξῆλθε· καὶ τὸ τῆς Ἀρτυκώμιδος γίνεται πρὸς τῇ πηγῇ, πρὸς τοῖς τόξοις, τὴν Ὑσμίνην

mercibus exoneratam ductámque ad fontem & lauro coronatam aquis permiserunt, ac post circiter horam inde extractam Rhodope venditam mancuparunt, à qua demum magnam & celebrem libertatis aram perueni: experta priùs dominam Rhodopen, tempestatis sortísque & barbaricæ venditionis iniurias. Vix ea Ismene effata erat, cùm soluto conuiuio, vt post opiparas epulas solet, somno concessimus. Iámque lapsa nocte cùm super terram

Et Phœbus albicasſit & recentatur,

somno excusso stratis omnes exsilijmus, finitáque celebritate inde soluentes Artycomidem venimus, fonte Dianæ arcúque, Ismenes castitatem, vt igne argentum probaturi. Iámque nos fonti proximos vniuersa Daphnipolis accurrens cum Artycomide cingebat. Ego circa fontem arcúmque lauro coronatam

Iſmenem inſpicio, dum quiſque deam precabundus & puellæ miſertus dubio de rei euentu animo pendens, ac de integra pudicitia diffidens, ne caſtitatem mentita redarguatur, pauet. Itaque defixis in arcum fontémque & coronam oculis, vbertim lachrymans diuerſis ſubinde cogitationibus oppugnabar, dum interim coronata, acclamante multitudine, Iſmene, iámque fonti permiſſa, altum populi ſilentium nullúmque murmur fuit; quieuit tacitus arcus, leniterque ſilentibus vndis virgo innatauit. Tota quæ præſens aderat plebes ingenti præ gaudio ſaltans, ſaluam virginem lætabatur, ſignatæque illam pudicitiæ altiſſima voce prædicabat. Ego toto præ voluptate in lætitiam effuſo animo hærebam, dum egreſſæ fonte virginis (neque enim quiſquam de appellatione illa, vt puto, dubitabit) mater in amplexus ruens, laudato qui talem filiam genuiſſet patre, ad Dianæ gratias actura venit, vbi propter victoriam coronata eſt. Ita relicto nemini

στεφανουμένην ὁρᾷ, τὴν Ἄρτεμιν κατα-
δυσωπεῖ, ὑπὲρ τῆς κόρης, περὶ τῆς παρθένου
διψυχεῖ, ἀπιστεῖ τῇ σεμνότητι, καὶ φρίσσει
τὸν ἔλεγχον. ἐγὼ δ' εἱστήκειν ὁρῶν. περὶ δὲ
τόξον, καὶ τὴν πηγὴν, καὶ τὸν στέφανον ὅλους
ἔχων τοὺς ὀφθαλμούς. καὶ βλέπων ἐδά-
κρυον, καὶ ὅλην τὴν ψυχὴν κατεπολιορ-
κούμην τοῖς λογισμοῖς. Ὑσμίνη μοι στε-
φανοῦται. τὸ παρεστὼς ἀλαλάζει ἐμβαίνεται
τῇ πηγῇ. τὸ πλῆθος σιγᾷ, καὶ θροῦς οὐδα-
μοῦ, τὸ τόξον ἠρεμεῖ, τὸ ὕδωρ ἀτρεμεῖ. καὶ
ἡ παρθένος κούφως τοῖς ὕδασιν ἐπινήχεται.
χαίρει τὸ πλῆθος. ἐξ ἡδονῆς ὀρχεῖται. χά-
ριεν κροτεῖ, καὶ ἀλαλάζει [illegible]. καὶ ἡ
παρθένος ἡ κόρη κηρύσσει Στεντόρειον. ἐγὼ
δ' ὅλην ὑφ' ἡδονῆς ἐκκέχυμαι τὴν ψυχήν.
ἐκβαίνεται τῆς πηγῆς ἡ παρθένος. οὐκέτι
γὰρ διψυχήσει περὶ τὴν κλῆσιν οὐδείς. ἡ
μήτηρ δ' αὐτὴν περιπτύσσεται. ὁ πατὴρ
μεθ' ἡδονῆς εὐλογεῖται, καὶ περὶ τὴν Ἄρ-
τεμιν [illegible]. ἐπιστεφανοῦται τὸ ἐπινίκιον ἡ
παρθένος, παρθένος. περὶ τὴν κόρην, οὐκ

ἐστὶν ὁ δυστυχῶν. καὶ οὕτως ἐξ Ἀρτυκώμιδος, γινόμεθα περὶ τὴν Αὐλίκωμιν. καὶ θύομεν τοὺς γάμους πολυτελεῖς, ἐν μέσῳ τῷ τοῦ Σωσθένους κήπῳ, ἐν ἐκείνῃ τραπέζῃ καὶ φρέατι; οἷς πρώτως ἐρωτικὴν παστάδα κατεπήξαμεν. ὀρθὴ γοῦν πᾶσα πόλις Αὐλίκωμις, ὑμνοῦσα, κροτοῦσα, χαίρουσα· ὀρχουμένη περὶ τῆς παστάδος, περὶ τοῦ νυμφῶνος, περὶ τῶν νυμφίων ἡμῶν, ᾠδὴν ὑμέναιον ᾄδουσα, ἐπιθαλάμιον ἀλαλάζουσα, καὶ λαμπρὸν ἀγαλλομένη γαμήλιον. τίς οὖν οὕτω καὶ τὴν μορφὴν ἡδὺς, καὶ τὴν φωνὴν μεγαλόφωνος, καὶ τὴν γλῶτταν ἀττικευομένην ἔχων, ὡς τὰ πολλὰ, καὶ κομψευομένην ὑπόσεμνα, ὡς καταζωγραφεῖν τῷ λόγῳ τοὺς γάμους, καὶ ὅλους αὐτοὺς διαγράφειν; θεῶν οὖν ἦν ὄντως ἐκείνη παστὰς, Ἥρας γάμος, καὶ Ἀφροδίτης νυμφών. ἐγὼ δ᾽ ἔχαιρον οὕτω λαμπρῶς καὶ λίαν φιλοτίμως νυμφοστολούμενος· καὶ μᾶλλον ὅτι καὶ τὴν Ὑσμίνην Ἔρως συνενυμφοστόλησέ μοι πολυτελῶς, βασιλικῶς συνεκάθισε, καὶ

de non imminuta castitate dubio, Artycomide discedentes Aulicomidem venimus. Ibi celebratas magnificè nuptias perfecimus, medio in Sosthenis horto, circa sumptuosam illam mensam, fontémque; quo loci primas nuptias inuicem amantes contraximus. Arrecta tota ciuitas festis cantibus, plausúque & lætitia personabat. Quid memorem geniali coram thalamo & cubiculo tripudia, acclamatum nobis audientibus crepitu musico hymenæum? vt denique omnibus quibus potuerit artibus splendidas nuptias lætissima ciuitas instruxerit? Quis tam suauis magnificæque reperietur eloquentiæ, quis adeò lepôris Attici disertissimus, summóque & facili verborum ornatu præditus, qui illarum descriptionẽ nuptiarum verbis exprimere possit? Prorsus deorũ alicuius genialis lectus, aut Iunonis nuptiæ, Veneríſque thalamus videbatur mihi. Tam honorificè Ismenem ducẽti suboriebatur ingens gaudium, præcipuè quòd Ismenem Amor ad me splendidè deductã, & mecũ sedere iussam simul

magnificè coronatã tradiderit. Sed & conuiuio finem imponi desiderabam, lucémq; exosus, & noctẽ cupidissimis exspectans votis identidem vulgarium illud, quod in comœdia iactatur, tenui susurro dicebam: *O Iupiter, quàm hæc longa dies, quæ vspiam nocti non cedit!* Ita supra Homeri prçconium, omnémque eloquẽtissimæ linguæ ingeniíque aciẽ nuptiæ nostræ celebratæ sunt. Verùm ô Iupiter, cuius in Aulicomidẽ præco profectus sum; ô domine Cupido, cuius seruus ex Aulycomide, in patriam reducem intuli pedem; tu Neptune, qui pro liberatione nostra Ismenem, cuius capite lustratum nauigium fuit, excepisti; túq. maxime Apollo, qui libertatẽ ereptã nobis restituisti; vósque Dianæ fons & arcus, qui virginitatẽ Ismenes illibatam ostẽdistis; concedite omnes ne profundo submersa obliuionis pelago singula quæ nobis acciderunt, rugosa postmodum vetustatis, æuíque longioris caries deleat; sed ne ipsa quæ mortui --*Lethæa obliuia potant.* Tu præcipuè diuûm pater atque hominum rex, si parilem in Castoribus germanitatis amorem miratus, æter-

μεγαλοπρεπῶς συνεστεφάνωσεν. ἀλλ' ηὐχόμην πέρας τὰ τῆς τραπέζης εὑρεῖν. καὶ νὴ τὸν Ερωτα, τὴν ἡμέραν ἐμίσησα, τὴν νύκτα ζητῶν· καὶ τὸ τῆς κωμῳδίας μικρὸν ὑπαλλάξας, ὑπεψιθύρισα·

Ω Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῆς ἡμέρας ὅσον. οὕτω μὲν οὖν μοι τὰ τῶν γάμων ὑπὲρ τὴν Ομήρου μεγαλοφωνίαν, ὑπὲρ πᾶσαν μοῦσαν, ὑπὲρ πᾶσαν γλῶσσαν κατεστομωμένην ῥητορικῶς. ἀλλ' ὦ Ζεῦ, οὗ κήρυξ ἦλθον εἰς ταυτηνὶ τὴν Αὐλίκωμιν.* ὦ τύραννε Ερως, οὗ δοῦλος ἐξ Αὐλικώμιδος ταύτης εἰς τὴν ἐμὴν ἐπανῆκον Εὐρύκωμιν. ὦ μέγ' Απολλον, ἐξ εὐθείας ἡμῖν χαριζόμενος. ὦ τόξον Αρτέμιδος, καὶ πηγὴ τὴν παρθένον ἐλέγχουσα. μὴ βυθὸς ἀμνηστίας κατεπικλύσῃ ταῦτα τὰ καθ' ἡμᾶς· μὴ χρόνος μακρὸς, μὴ ῥυτὶς, μὴ λήθης κρατὴρ ἐν ᾅδου κιρνώμενος. ἀλλ' ὦ Ζεῦ, εἰ τὸ τῶν Διοσκούρων θαυμάζων φιλάδελφον, ἐν οὐρανῷ τὴν μνήμην φυλάττεις ἀθάνατον, ὑπὲρ ἐκείνης ἡμῖν τὸ φιλάδελφον ὅλον

κοινωσαμένης τὸ ζώσιμον. εἰ τὸν πολὺν Ηρακλῆν τῶν πολλῶν ἐλεήσας ἐκείνων δρόμων καὶ περιδρόμων, οὐρανῷ τὴν μνήμην ἀπαθανατίζεις αὐτοῦ· ἡμεῖς οἱ αἰχμάλωτοι καὶ δοῦλοι καὶ πλανῆται, καὶ ἐπὶ πᾶσι τὴν παρθενίαν ἀπαρεγχείρητοι. ἀλλὰ κατέψευσμαι τὸ κηρύκιον· Ερωτα παῖδα Διὸς ἀντηλλαξάμην πατρός· καὶ Ζεὺς οὐ καταστερίσει τὰ καθ' ἡμᾶς, καὶ τὴν ἐν οὐρανῷ μνήμην οὐκ ἐπινεύσει χαρίσασθαι. σὺ δ' ἀλλ' ὦ Πόσειδον, εἰ τὸν Ικαρον ἐλεεῖς, καὶ σώζεις τούτῳ τῇ θαλάσσῃ τὴν μνήμην ἀθάνατον, τὴν πελάγους κλῆσιν ἐξ αὐτοῦ χαριζόμενος· ἡμῖν οὐ περισώσεις τὴν μνήμην ἐξ ἡμετέρων ἐκείνων τεράτων κλῆσιν τῇ θαλάσσῃ δωρούμενος, καὶ τὰ καθ' ἡμᾶς ἐν ὕδασι καταζωγραφῶν, καὶ μέχρις ἐσχάτων τηρῶν ἀναπόνιπτα; καὶ πάντως. ἀλλ' αἰδῇ τὴν ἧτταν, καὶ δέδοικας μὴ τὰ καθ' ἡμᾶς καταζωγραφῶν, στηλογραφήσοις τὰ κατὰ σοῦ. σὺ δ' ὦ Γῆ μῆτερ, εἰ τὴν Δάφνην φεύγουσαν ἐλεεῖς, καὶ κρύπτεις, καὶ σώζεις,

nam in cælis illorum memoriam conſeruaſti: nos quoque ſimiliter qui ſupra fraternos illorum affectus inuicem amantes vitæ gaudia periculáque omnia cõmunia reddidimus, ab obliuione vindica. Si longos Herculis miſeratus errores, tandem immortalem illius in cœlis recordationem exſtare voluiſti; nos quoque captiui, ſeruíque, & exules, non imminuta inter hæc omnia caſtitate, fuimus. Quòd ſi præconium mentitus indignè ideo me geſſi, quòd Ioue patre contrà, filium Amorem permutauerim, ideóque rerum noſtrarum referri in aſtra memoriam abnuis; tu Neptune pater, qui miſertus Icari denominato de illius nomine freto æternitati commendaſti; an tu nobis idem non tribues, neque prodigia noſtra deſcripta, & illa quæ in mari nobis acciderunt omnia, ad vltimos vſque ſæculorum fines ſeruata, nomẽ vndis facient? Nimirum victum te puderet; metuíſque ne noſtra exprimendo, tua quoque notiora facias. Tu igitur vltima parens omnium Tellus, ſi fugientis Daphnes miſeratione ducta, producta,

ſponte tua, cognomine planta ſaluam illam occultaſti: ſi Hyacinthum ſimili modo immortalem reddidiſti; an & poſteritati inluſtrem noſtri memoriam non mandabis, nec de nomine noſtro producta gignentia æterna rerum noſtrarũ monumenta per ætatum examina produces: in quibus negotia noſtra deſcripta omnibus notiora, veluti publicatura & perennitati perpetuùm es commendatura? Verùm in te Ennoſigæus Neptunus, terram quatiens deus, rugienti murmure fremens irruet, & te parentem omnium, hiſtoriam noſtram conſeruantem, præterea illum ob Amoris victoriam, aſpernatam, vndis furẽtibus obrutam inundabit. Ego matris amantiſſimus cultor & obſeruantiſſimus ſum; itaque Iupiter cœlis, neque mari Neptunus perenniter ſeruandas res noſtras commendabunt: ſed neque plantis Tellus & floribus æternas laudabit: Verùm Mercurij ſtylo, atramentóque & ignea eloquentiſſimi viri lingua litteris mandatæ, tamquam perituris numquam ta-

καὶ φυτὸν ὁμώνυμον αὐτομάτως γεννᾷς, εἰς μνήμης συντήρησιν. εἰ τὸν Ὑάκινθον ἐξ ὁμωνύμου φυτοῦ φυλάττεις ἀθάνατον, ἡμῶν οὐ συντηρήσεις τὴν μνήμην; φυτὰ δ' οὐκ ἀναδώσεις ὁμώνυμα, στήλας ἀθανάτους τῆς καθ' Ὑσμίνην ταύτην καὶ τὸν Ὑσμινίαν ἐμέ; ὅλον δρᾶμα τὸ καθ' ἡμᾶς τοῖς φυτοῖς καταζωγραφοῦσα καὶ καταστηλιτεύουσα, καὶ καθ' ἡμᾶς φυλάττουσα τὴν μνήμην ἀθάνατον; ἀλλ' ἐννοσίγαιος ὁ Ποσειδῶν, ἀλλ' ἐνοσίχθων, καὶ καταβρυχήσεταί σε μῆτερ ὡς λέων, καὶ κατακυκήσει σε τὴν μητέρα στηλογραφοῦσαν τὰ καθ' ἡμᾶς, καὶ τὴν ἐξ ἔρωτος καταφαυλίζουσαν ἧτταν αὐτῆ. ὁ φιλομήτωρ δ' ἐγώ, καὶ τιμῶ τὴν μητέρα, καὶ κήδομαι τῆς μητρός. τοίνυν εἰ Ζεὺς οὐ κατασείσει καὶ τὰ καθ' ἡμᾶς, ἢ Ποσειδῶν καταστηλογραφήσει τοῖς ὕδασιν, ἢ Γῆ μὴ καταφυτουργήσει τοῖς φυτοῖς, καὶ τοῖς ἄνθεσιν· ἀλλ' ὡς ἐν ἀμαράντοις ξύλοις καὶ λίθοις ἀδάμασιν, Ἑρμοῦ γραφίδι καὶ μέλανι καὶ γλώσσῃ πῦρ πνεούσῃ ῥητορικόν,

τὰ καθ' ἡμᾶς στηλογραφηθήσεται. καί τις τῶν ὀψιγόνων καταρρητορεύσει ταῦτα, καὶ ὡς ἀθανάτῳ στήλῃ τοῖς λόγοις ἀνδριάντα χαλκουργήσει κατάχρυσον. ὅσον μὲν οὖν ἐν ἀνθρώποις ἐρωτικώτερον, τῶν πολλῶν ἐρωτικῶν χαρίτων ἡμᾶς ἀποδέξεται. καὶ ὅσον παρθενικὸν καὶ σεμνότερον, τῆς σωφροσύνης πάλιν ἀγάσεται. ὅσον δὲ συμπαθέστερον, ἐλεήσει τῶν δυστυχημάτων ἡμᾶς. καὶ οὕτως ἡμῖν ἔσται τὰ τῆς μνήμης ἀθάνατα. ἡμεῖς δὲ καταχαριτώσομεν τὴν γραφήν, καὶ ὅλην βίβλον κατακοσμήσομεν, καὶ χάρισιν ἐρωτικαῖς καὶ τοῖς ἄλλοις ὅσα βίβλους κοσμοῦσι καὶ τοὺς λόγους κατακαλλύνουσι. κλῆσις δ' ἔσται τῇ βίβλῳ, τὸ καθ' Ὑσμίνην δρᾶμα καὶ τὸν Ὑσμινίαν ἐμέ.

ΤΕΛΟΣ.

bulis fixæque adamante manebunt. Eteni m poſteriorum aliquis diſertiſſimè ſingula explicando, tamquam immortali columnæ, ita verbis ſuis auream ſtatuam ſuperſtruet. Sic

Quantum eſt hominum venuſtiorum, nos ſimilium venerum gratiarúmque diſertiſſimos obuio plauſu excipiet: ſimiliter quantum pudicorum erit, caſtitatis ergô mirabundi laudabunt. Sed & ſortis iniuria captiuorum quantum erit, hi pariter omnes nos alacriori animo ſuſcipient. Denique quibus ad miſericordiam lentus duci faciliſque animus erit, prorſus ob infortunia miſerebũtur: atque ita immortalitati rei geſtæ memoria ſacrabitur, dum nos ornatum libellum cultúmque omnibus, vt in cæteris libellis fieri amat, Amorum gratijs, ſermoníſque illecebris ſcribemus. Libello autem nomen erit, Amorum Iſmenes, Iſmeniæque hiſtoria.

FINIS.



